A

FIRST GREEK READER

BY

CHARLES M. MOSS

FIRST GREEK READER

BY CHARLES M. MOSS

1. A PLEASANT VACATION.

ὁ ἐμὸς ἀδελφὸς ἔχει χωρίον εἰς ὃ πολλάκις καταβαίνω· οὐ γὰρ μακρά ἐστιν ἡ ὁδὸς ἡ ἐξ Ἀθηνῶν εἰς Σοῦνιον ἄγει. ἐνταῦθα αὐτῷ ἐστιν οἰκία καλή, ἅμαξα, καὶ ἵπποι οὓς γυμνάζει. ἐνίοτε οἱ οἰκέται εἰς τὴν θάλασσαν ἐλαύνουσιν αὐτοὺς· αὐτὴ γὰρ ἐγγὺς ἐστι τῆς οἰκίας. τὰ δένδρα κατὰ τὰς ὁδοὺς παρ-ἔχει σκιὰν τοῖς ἀνθρώποις καὶ θηρίοις. καὶ ὁ ἀδελφὸς ἔχει βιβλία ἃ ἐν τῇ οἰκίᾳ ἀνα-γινώσκομεν· ἐνίοτε γὰρ ὁ ἥλιος πάνυ θερμὸς ἐστιν.

2. PHILIP HITS TWO THIEVES WITH ONE DECISION.

κλέπτης ποτε Φιλίππῳ, τῷ κριτῇ, λέγει· “ὦ Φίλιππε, κλέπτης τὸν ἐμὸν τόξον ἔχει καὶ ἀπο-τρέχει. ὁ δὲ ἄνθρωπος ὃν νομίζω εἶναι τὸν κλέπτην ἐστὶν Ἀλέξανδρος.” εὐθὺς δ᾽ ἄλλος ἄνθρωπος ὃς πάρεστι λέγει, “Ἀλέξανδρός εἰμι. οὐ τὴν ἀλήθειαν λέγει· τὸ γὰρ τόξον οὐκ αὐτοῦ ἐστιν, ἀλλὰ Κύρου. ὁ δὲ πονηρὸς ἄξιός ἐστι δίκης· αὐτὸς γάρ ἐστιν ὁ κλέπτης.”

Φίλιππος ἀκούει τὸν λόγον τῶν ἀνθρώπων, καὶ νομίζει ἀμφοτέρους κλέπτας εἶναι. δια-κρίνει οὖν ὧδε· “κελεύω τὸν μὲν πρῶτον κλέπτην φεύγειν ἐκ Μακεδονίας, τὸν δὲ δεύτερον διώκειν τὸν πρῶτον.”

3. PENNY WISE, POUND FOOLISH.

ἄνθρωπος ἐκ Βοιωτίας λέγει ὅτι ἐν τῇ χώρᾳ ἣν ᾤκει, πολίτης ἀ-νόητός ἐστιν. ὁ δὲ ἵππος αὐτοῦ μέλλει ἀπο-θνῄσκειν ὅτι παρ-ἔχει αὐτῷ οὐ χλόην καὶ κριθάς, ἀλλὰ ξύλα καὶ λίθους. οὕτω δὲ ποιεῖ ὅτι, ὡς λέγει, ἀνάγκη ἐστὶ τῷ ἵππῳ μανθάνειν ἐσθίειν ἃ ἔχει· “οὐ γὰρ πλούσιος εἰμί,” λέγει ἐκεῖνος. ἄλλος δὲ πολίτης αὐτῷ λέγει, “θαυμάζω ὅτι οὐ γιγνώσκεις ὅτι ἵπποι νοῦν ἔχουσιν· οὐ γὰρ ἵπποι ποιοῦσιν ἃ νῦν τοῦτον ποιεῖν κελεύεις. εἰ μὴ χρυσίον ἔχεις ὡς ἄλλον λαμβάνειν ὀλίγων ἡμερῶν, λέγω ἀνάγκην εἶναι παρ-ἔχειν τροφὴν ἱκανὴν τῷ νῦν ἔχεις.”

4. HONORABLE SCARS.

ἄξιος ἀκούειν ἐστὶ λόγος περὶ τῶν στρατιωτῶν. ὁ μὲν οὐ καλός ἐστι· τυφλὸς γὰρ τὸν δεξιὸν ὀφθαλμόν ἐστι, καὶ ἄλλα ἔπασχε διὰ τοὺς

πολεμίους. ὁ δὲ ἕτερος, ἄγροικος γάρ ἦν, ἔλεγεν, 'ὡς καλὸν τὸ σὸν πρόσωπον.' ὁ δὲ ἐν ὀργῇ, 'ἐκεῖνο τὸ πρόσωπον οὐ κατα-γελᾷς, οὐκ αἰσχρόν ἐστι, καὶ εἰ μὴ καλόν· οἱ γὰρ πολέμιοι, ὑφ' ὧν ἔπασχον, ἄναβοί εἰσιν. ἔχεις δὲ πρόσωπον κάλλιστον ὁρᾶν, φαυερὸν οὖν ἐστιν ὅτι κακὸς εἶ. πότε δὴ οἱ ἄλλοι στρατιῶται τὸν καλὸν ἐπ-έ-σκοπτον ὥστε αὐτίκα τὸ στρατόπεδον ἐ-λειπε καὶ ἐπὶ Σάμον ἐν πλοίῳ ἔ-φευγεν.'

5. A PEDANT LEARNS ABOUT A LADDER.

ἀνήρ τις ποτε περὶ κλίμακος ἐ-μάνθανε τοῦ φίλου· οὐ γάρ, ὡς ἔ-λεγεν, ἐ-γίγνωσκε τί κλίμαξ ἐστι. καὶ ὁ φίλος ἔ-φη αὐτῷ, 'τοῦτο ὀνομάζομεν κλίμακα. ἡ μὲν παρὰ τῇ οἰκίᾳ ἔχει δέκα βάθρα, ἄλλαι δὲ εἴκοσιν ἢ τριάκοντα· καὶ διὰ αὐτὰς ἐπὶ τὰς οἰκίας ἢ εἰς τὰ δένδρα ἀνα-βαίνομεν. ὁ δὲ ἀνὴρ ἐ-θαύμαζε καὶ ἔ-λεγεν, 'ἔστιν, ὦ φίλε, ὁ ἀριθμὸς τῶν βάθρων ὁ αὐτὸς εἴ-τε ἀνα-βαίνω εἴ-τε κατα-βαίνω;'

6. DRACO'S LAWS.

πάλαι μὲν ἦν ἐν Ἀθήναις ἀνὴρ ᾧ Δράκων τὸ ὄνομα ἦν· οὗτος δὲ σοφὸς καὶ δίκαιος ἦν ὥστε οἱ Ἀθηναῖοι ἤθελον αὐτὸν νόμους νέους γράφειν, ὅτι οὕτω πολλοὶ ἄνθρωποι ἐν τῇ πόλει κακοὶ ἦσαν. νόμους οὖν ἔγραφε χαλεπούς· ἐν γὰρ τούτοις τοῖς νόμοις ἦν μία ζημία κακούργοις, θάνατος. Ἡρόδικος οὖν ἔλεγεν ὅτι οἱ Δράκοντος νόμοι οὐκ ἀνθρώπου νόμοι ἦσαν, ἀλλὰ δράκοντος.

7. QUALIFICATIONS OF A RULER.

πολίτης τις ἄλλης πόλεως τῷ Περικλεῖ τῷ Ἀθηναίῳ ἔλεγεν, 'ὦ Περίκλεις, τί ἐστι τὸ πρῶτον, ὃ τὸν ἄρχοντα δεῖ μνημονεύειν;' ὁ δὲ ἔφη, 'ὅτι ἄνθρωπός ἐστι.' 'καὶ τὸ δεύτερον;' 'ὅτι κατὰ τοὺς νόμους δεῖ ἄρχειν.' 'καὶ τὸ τρίτον;' 'ὅτι οὐκ ἀεὶ ἄρξει.' ὁ δὲ ἀνὴρ ἔλεγε τῷ Περικλεῖ, 'τοὺς Ἀθηναίους εὐδαιμονίζω ὅτι σὲ ἔχουσιν ἄρχοντα ὃς οὐ μόνον ταῦτα οἶσθα, ἀλλὰ καὶ οὕτω ποιεῖς.'

8. A VERY BAD MEMORY.

πολίτης τις Ἐρετρίας ἐπιστολὴν ἔγραφε φίλῳ ὃς ἐτύγχανεν ἀμνήμων ὤν, λέγων, 'ἀκούω σε εἰς Ἀθήνας ἀπιέναι. ἐπιθυμῶ οὖν σε πρὸς ἐμὲ φέρειν βιβλίον ὃ ἔχει ὁ ἐμὸς ἀδελφὸς Εὐφορίων.' ἀνεγίγνωσκε δ' ὁ ἀνὴρ τὴν ἐπιστολήν, ἀλλ' οὐκ ἐμνημόνευεν ἰέναι εἰς τὴν οἰκίαν τοῦ ἀδελφοῦ, ἡμέρας πέντε ὢν ἐν τῇ πόλει. ἐπεὶ δ' ἦκεν εἰς τὴν αὐτοῦ χώραν οὐδὲν ἔλεγε περὶ τῆς ἐπιστολῆς. ὁ μὲν

φίλος μετὰ ἓξ ἢ ὀκτὼ ἡμέρας ἠρώτα, 'ποῦ ἐστι τὸ βιβλίον ὃ ἔμελλες φέρειν;' ὁ δέ, 'ἀλλά, οὐδὲν οἶδα περὶ τῆς ἐπιστολῆς τῆς λεγούσης φέρειν τὸ βιβλίον.'

9. LAST ACTS OF DARIUS.

Δαρείῳ καὶ Παρυσάτιδι ἦσαν παῖδες δύο, ὧν ὁ μὲν πρεσβύτερος ἦν Ἀρταξέρξης, ὁ δὲ νεώτερος Κῦρος. ἐπεὶ δ' ἡ τελευτὴ τοῦ βίου ἐγγὺς ἦν, Δαρεῖος εἰς Σάρδεις ἔπεμπεν ἄγγελον ὃς αἰτήσει Κῦρον παρεῖναι εἰς τὰ βασίλεια. ὁ δ' ἄγγελος ἐποίει ταῦτα. Κῦρος δὲ ἀνέβαινεν εἰς Βαβυλῶνα. παρῆσαν οὖν τῷ παιδέ, ὅτι Ἀρταξέρξης ἤδη παρῆν ὅτε Δαρεῖος τὸν ἄγγελον εἰς Σάρδεις ἔπεμπεν. ἐπεὶ δὲ Δαρεῖος ἐτελεύτα τὸν βίον ἡ βασιλεία ἐπιβάλλει Ἀρταξέρξῃ. Κῦρος δὲ κατέβαινεν εἰς τὴν αὐτοῦ ἀρχήν. οὐκ ἔτι δὴ ἐφίλει τὸν ἀδελφόν, ἀλλὰ ἐπεβούλευεν αὐτῷ ἐθέλων βασιλεύειν ἀντ' ἐκείνου.

10. THE DECEITFULNESS OF RICHES

Τίμων, ὁ ἀδελφός μου, πολλὰ χρήματα καὶ τιμιώτατα ἐν τῇ οἰκίᾳ ἔχων, ἐν ἀθυμίᾳ πολλῇ ἐστιν ὅτι κλέπτας εἶναι ἐν τῇ πόλει ἀκούει. ὑμῖν λέξω τί ποιεῖ. διὰ μὲν ἡμέρας οὐκ ἐθέλει ἀπὸ τῆς οἰκίας ἀπιέναι, ἐν δὲ τῇ νυκτὶ οἱ κλέπται οὕτω φοβοῦσιν αὐτὸν ὥστε τὴν λάμπαδα καίει καὶ οὐκ ἐπὶ τὸ λέχος ἀναβαίνει. ἐγὼ δὲ οὐκ ὀκνῶ ἐξιέναι εἰς τὴν πόλιν, οἰκίαν μικρὰν ἔχων καὶ οὐδὲν ἐν αὐτῇ ὃ οἱ κλέπται ἐθέλουσι λαμβάνειν. ἡδὺς μὲν οὖν ἐμοὶ ὁ βίος ἐστίν, αὐτῷ δὲ ἀηδής, ὡς τοῖς γε φίλοις δοκεῖ.

11. DECORATION DAY.

τοὺς μὲν στρατιώτας τιμῶμεν οἳ ἐν τῷ τελευταίῳ πολέμῳ ἀπέθνῃσκον. τοὺς γὰρ τάφους ἄνθεσι καλύπτομεν καὶ ἄνδρα ἔντιμον αἰτοῦσιν οἱ πολῖται λέγειν ἐπὶ αὐτοῖς καὶ ἐπαινεῖν τὰ ἔργα αὐτῶν. ὁ δὲ ἐπὶ βῆμα ἀναβαίνει τε καὶ τὸν ἔπαινον λέγει ἄξιον τῆς ἐκείνων ἀρετῆς. οἱ δὲ λόγοι εἰσὶν ὅμοιοι τοῖσδε· 'ἔστιν, ὦ πολῖται, δίκαιον τιμᾶν τούτους τοὺς ἄνδρας καὶ τῆς ἀρετῆς αὐτῶν φυλάττειν τὴν μνήμην. ἡμεῖς δὲ ποιοῦντες ταῦτα τιμὴν λαμβάνομέν τε καὶ τοὺς παῖδας ἡμῶν ποιήσομεν εὐνους τῇ πατρίδι.'

ἦν μὲν τοῖς Ἀθηναίοις οὗτος ὁ αὐτὸς νόμος ἐπὶ Σόλωνος, καὶ οἱ μετὰ αὐτοῦς τὰ αὐτὰ ἐποίουν. ἐν τῷ δὲ Πελοποννησίῳ πολέμῳ Περικλῆς πρῶτος ἔλεγεν ἐπὶ τοῖς στρατιώταις οἳ ἀπέθνῃσκον. ἔξεστι δὲ αὐτοῦ τοὺς λόγους ἀναγιγνώσκειν ἐν τῷ δευτέρῳ μέρει τῆς συγγραφῆς Θουκυδίδου.

12. LEONIDAS TO THE COWARDLY SOLDIER.

Λεωνίδας μὲν ἦν ὁ στρατηγὸς τῶν ἐν Θερμοπύλαις Λακεδαιμονίων. στρατιώτης δέ τις ἐν τῇ στρατιᾷ, φοβερὸς ὤν, πρὸς αὐτὸν ἦει καὶ ἔλεγεν, 'ὦ στρατηγέ, ὁ ἀριθμὸς τῶν μετὰ Ξέρξου βαρβάρων οὕτω μέγας ἐστὶν ὥστε τὰ τοξεύματα αὐτῶν καλύψει τὸν οὐρανὸν καὶ ἀφανεῖ τὸν ἥλιον.' Λεωνίδας οὖν αὐτῷ ἔλεγεν, 'ἀλλά, ὦ κακέ, σύ γε

λέγεις ἥδιστα· τὰ γὰρ τοξεύματα ποιήσει τὴν μάχην ἐν τῇ σκιᾷ εἶναι.' διὰ τοῦτον τὸν λόγον ὁ ἀνὴρ οὐκ ἐμνημόνευε τὸν πρότερον φόβον, ἀλλὰ εἰς τὴν μάχην εὐθὺς ἦει καὶ ἀπέθνῃσκε μετὰ τῶν ἄλλων.

13. BUILD SHIPS.

ὑμῖν οὖν, ὦ Ἀθηναῖοι, συμβουλεύειν ἐθέλω ἃ χρὴ ποιεῖν εἰ ἐπιθυμεῖτε τὴν πατρίδα σῴζειν. πρῶτον μὲν οἱ πολέμιοι μέλλουσι τὴν χώραν φέρειν καὶ ἄγειν, καὶ αὐτοῖς νῆες πολλαί εἰσιν αἷς ἔξεστι λυπεῖν τοὺς κατὰ τὴν θάλασσαν Ἀθηναίους, τὰ πλοῖα εἰσφέροντα σῖτον διαφθείρειν, καὶ πολλὰ καὶ ἄλλα ἀδικεῖν ἡμᾶς. ὑμῖν οὖν συμβουλεύω ἑκατὸν ναῦς ποιεῖν. ταύτας δὲ ἔχοντες τὴν πόλιν σώσετε, ὅτι οἱ πολέμιοι λέξουσι, 'μείζονα δύναμιν ἔχουσιν οἱ Ἀθηναῖοι ἢ ἡμεῖς·' καὶ σύμμαχοι εἶναι ἐθελήσουσιν. εἰ μὲν ταῦτα ἡδέα ἐστί, καλῶς ἔχει· εἰ δ' ἄλλα ἀμείνονά ἐστιν, αὐτὰ ποιεῖτ.

14. NAPOLEON AND THE PRIEST.

Ναπολέων μέν ποτε ἄνδρα ἑώρα ἐν τῷ προθύρῳ ὃς τὰ ἱμάτια ἱερέως εἶχεν. ὁ δὲ ἐτήρει τὸν Ναπολέοντα ἰόντα εἰς τὰ βασίλεια. ὁ δὲ βασιλεὺς ἔφη, 'τίς ἐστιν οὗτος ὁ ἄνθρωπος ὁ προσβλέπων ἐμέ;' ὁ δὲ ἱερεὺς ἔφη, 'σὺ μὲν προσβλέπεις ἄνδρα ἀγαθόν, ἐγὼ δὲ ἄνδρα ἐνδόξον. ἴσως χρήσιμον ἀμφοτέροις ἡμῖν ἐστιν.' οὗτος ὁ λόγος ἡδὺς τῷ Ναπολέοντι ἦν, καὶ τριῶν ἢ τεττάρων ἡμερῶν τὸν ἱερέα ἐπίσκοπον ἀπέδειξεν. οὕτω τῷ γε ἱερεῖ χρήσιμον ἦν προσβλέψαι τὸν ἄρχοντα τῆς Γαλλίας καὶ αὐτῷ ὁμιλῆσαι.

15. A NOBLE REPLY.

Πελοπίδας μὲν ἦν τῶν Θηβαίων ἀνὴρ εὐδόκιμος διὰ τὴν ἀρετήν τε καὶ εὐνοίαν. αὐτῷ δὲ μέλλοντι μετὰ τοῦ Ἐπαμεινώνδου ἐξιέναι εἰς μάχην ἡ γυνὴ ἔφη, 'βούλομαί σε σῴζεσθαι·' ὁ δὲ ἔφη, 'ἴσως ἄλλους δεῖ ταῦτα ποιεῖν, στρατηγὸν ἢ ἄρχοντα δεῖ τῶν πολιτῶν ἐπιμελεῖσθαι οἱ κινδυνεύουσιν ἐν πολέμῳ· οὕτω γὰρ ἡ πόλις καλῶς πράξει.' τοιαῦτα λέγων καὶ ποιῶν ἦγεν ἀγαθοὺς ἄνδρας εἰς μάχην

καὶ ἐδίδασκε πάντας τοὺς πολίτας τὰ αὐτὰ ποιεῖν ἃ καὶ αὐτὸς ἐφίλει.

16. MEDICAL SCIENCE IN BABYLON.

τοῖς δὲ Βαβυλωνίοις ὁ νόμος ἦν ὧδε· τοὺς νοσοῦντας εἰς τὴν ἀγορὰν εἰσέφερον· οὐ γὰρ αὐτοῖς ἰατροὶ ἦσαν. προσελθόντες μὲν οὖν πρὸς τὸν νοσοῦντα συνεβούλευον περὶ τῆς νόσου, εἴ τις τὴν αὐτὴν ἔπαθεν ἢ εἴ τινα ἄλλον ἐγίγνωσκεν οὕτω παθόντα. πᾶς ἄνθρωπος τοῖς νοσοῦσί τι ἔλεγεν. ποιοῦντες οὖν ἃ ἔλεγον οἱ ὑγιεῖς, οἱ νοσοῦντες ὑγιεῖς ἐγίγνοντο.

17. A CLEAR CONSCIENCE.

στρατηγοῦ τινος εὐδοκίμου ἤδη μέλλοντος τελευτῆσαι τὸν βίον, εἰς τῶν φίλων ἠρώτα εἰ οὐ μεταμέλει αὐτῷ διαφθείραντι τοσούτους ἀνθρώπους καὶ πόλεις. 'οὐδαμῶς,' ἔφη, 'οἶδα διὰ τί δεῖ ἐμὲ ποιήσαντα ταῦτα δακρύειν. καὶ γὰρ οὐδείς ἐστιν ὃς βούλεται ἐμὲ κακῶς ποιεῖν. οἵ γε φίλοι εὐμενεῖς ὄντες φαίνονται καὶ τοὺς ἐχθροὺς πεφόνευκα. ἀποθανοῦμαι οὖν οὐδένα λιπὼν ὃς ἐμὲ μισεῖ.'

18. THE PARTHIANS.

πάντων τῶν βαρβάρων πολεμικώτατοι ἦσαν οἱ Πάρθοι· οἱ γὰρ ἱππεῖς αὐτῶν καὶ φεύγοντες ἐτόξευον ὥστε τοὺς ἀμελῶς διώκοντας πολλάκις τραυματίζειν καὶ ἀποκτείνειν. οὕτως ἐνίοτε ἐνίκων τοὺς πολεμίους καὶ εἰ ἤδη οἱ πολέμιοι αὐτοὺς ἐνίκησαν. καὶ νομάδες ἦσαν, οὔτε ἔχοντες οἰκίας, οὔτε πολὺν χρόνον ἐν τῷ αὐτῷ τόπῳ μένοντες. οὐδεὶς οὖν ἐδύνατο αὐτοὺς διώκειν εἰς τὴν γῆν διὰ λιμόν. καὶ γὰρ λιμὸς σύμμαχος ἀμείνων ἦν τοῖς Πάρθοις ἢ τοξόται καὶ ὁπλῖται.

19. CYRUS PAYS THE PENALTY OF RASHNESS.

μεταξὺ δὲ οἱ Κύρου ἑξακόσιοι ἐδίωκον τοὺς πολεμίους εἰς τὴν χώραν. οὐκ οὖν ἔτι ἐν τάξει ἦσαν, καὶ πάνυ ὀλίγοι ἀμφὶ Κῦρον ἔμενον. ἐνταῦθα δὴ ὁ Κῦρος καθεώρα βασιλέα καὶ τοὺς ἑξακισχιλίους ἀμφὶ αὐτόν. καὶ εὐθὺς βοῶν 'τὸν ἄνδρα ὁρῶ,' ἤλαυνεν ἐπὶ αὐτὸν καὶ παίσας κατὰ τὸ στέρνον ἔτρωσε διὰ τοῦ θώρακος. ἐν δὲ τούτῳ ἀκοντίζει τις Κῦρον παλτῷ ὑπὸ τὸν ὀφθαλμόν. καὶ Κῦρός τε αὐτὸς ἀποθνῄσκει καὶ ὀκτὼ οἱ ἄριστοι τῶν Περσῶν ἀποθνῄσκουσιν ἐπ' αὐτῷ. οἱ δὲ βάρβαροι ἀπέτεμον τὴν κεφαλὴν αὐτοῦ καὶ τὴν χεῖρα τὴν δεξιάν. οὐχ οὕτως ἐποίει βασιλεὺς τῶν Περσῶν οὐδένα πλὴν τούτων οὓς μάλιστα μισεῖ.

20. BOAST NOT THYSELF.

πρῶτον μὲν ἡ ἀρχὴ Φιλίππου, τοῦ βασιλέως Μακεδονίας, μικρὰ ἦν· ὅμως δὲ στρατηγὸς ἀγαθὸς ὢν καὶ στρατιώτας ἀγαθοὺς ἔχων, τύραννον οὐ μόνον Μακεδονίας ἀλλὰ καὶ πάσης Ἑλλάδος ἑαυτὸν ἐποίει. αὕτη δ' ἡ εὐδαιμονία ἤδεια αὐτῷ ἦν. αὐτῷ οὖν σεμνῷ ὄντι διὰ μάχην τινὰ πολίτης τις Λακεδαίμονος ἐπιστολὴν ἔγραψεν ὧδε· 'ἔστιν, ὦ βασιλεῦ, ἡ σκιὰ σου μακροτέρα ὅτι ἐν ταύτῃ τῇ μάχῃ ἐνίκησας;'

21. I. DISOBEDIENCE AND FINE CLOTHES

παιδί τινι Βοιωτῷ δύο χιτῶνες ἦσαν, ὁ μὲν πορφυροῦς, ὁ δὲ γλαυκός. ὁ δὲ παῖς τὸν μὲν πορφυροῦν χιτῶνα ἐφίλει· λαμπρὸς γὰρ δὴ ἦν. τὸν δὲ ἕτερον οὐκ ἐφίλει ὡς αἰσχρὸν ὄντα. καὶ ποτε ἡ μήτηρ ἐκέλευσεν αὐτὸν τὰ σιτία εἰς τοὺς ἀγροὺς φέρειν πρὸς τὸν πατέρα. 'ἀλλ' οὐ γὰρ δεῖ,' ἔφη, 'τὸν χιτῶνα τὸν πορφυροῦν ἐν τοῖς ἀγροῖς φορεῖν· ἐκφέρέ μοι τὸν ἕτερον ἐκ τῆς θήκης ἵνα αὐτῷ σε ἀμπέχω.' ὁ δὲ παῖς τοῦτο μὲν χαλεπῶς ἔφερε, φανερῶς δὲ ἀπειθῆσαι οὐκ ἐτόλμησεν.

22. II. BRING HIM INTO A SORRY PLIGHT.

ἐπεὶ δὲ ἡ μήτηρ οὐκέτι ἐτήρει αὐτὸν τοῖς ὀφθαλμοῖς, ὁ παῖς λάθρα ἀπέφυγε διὰ τῆς θύρας τὸν πορφυροῦν χιτῶνα ἔχων. ἀλλ' οὐ πόρρω ἀπὸ τῆς οἰκίας ἀπὼν δίκην οὐκ ἀνάξιον ἔδωκεν· ἐν γὰρ τοῖς ἀγροῖς βόες τινὲς σὺν μεγάλῳ ταύρῳ ἐνέμοντο. ὁ δὲ ταῦρος τὸν πορφυροῦν χιτῶνα χαλεπῶς φέρων, ἐπὶ τὸν παῖδα μετὰ ὀργῆς ἐπεφέρετο. ἀλλὰ ὁ παῖς φεύγειν ἐθέλων, διὰ τὸν χιτῶνα βραδύτερον ἔτρεχε· μακρὸς γὰρ ἦν. ὥστε ὁ ταῦρος τοῖς κέρασι κακῶς ἐποίησεν αὐτόν.

23. PENALTY OF QUESTIONING A GENERAL'S REPUTATION.

Κλείτῳ δὲ οὐχ ἥδυ ἦν τοὺς Ἀλεξάνδρου ἐπαίνους ἀκούειν. καὶ κληθεὶς ποτε ἐπὶ συμπόσιον ἐν ὀργῇ ἔφη οὐκ εἶναι τὰ Ἀλεξάνδρου οὕτω μεγάλα καὶ θαυμάσια ὡς οἱ φίλοι ἔλεγον. 'οὐ γάρ,' ἔφη, 'αὐτὸς κατέπραξεν αὐτά, ἀλλὰ τὰ πλεῖστα κατέπραξαν οἱ Μακεδόνες.' τέλος δὲ καὶ ὠνείδιζεν Ἀλεξάνδρῳ ὅτι ὑπ' αὐτοῦ ἐσώθη ὅτε ἡ ἱππομαχία ἐπὶ Γρανίκῳ ἐγένετο πρὸς Πέρσας. καὶ δὴ καὶ τὴν δεξιὰν ἐν ὀργῇ ἀνατείνας, 'αὕτη ἡ χείρ σε,' ἔφη, 'ὦ Ἀλέξανδρε, ἐν τῷ τότε καιρῷ ἔσωσε.' καὶ Ἀλέξανδρος οὐκέτι ἠνέσχετο, ἰδὼν τοῦ Κλείτου τὴν ὕβριν, ἀλλὰ ἀνεπήδα μὲν ὀργῇ ἐπ' αὐτόν, κατείχετο δὲ ὑπὸ τῶν φίλων· Κλεῖτος δὲ ὅμως οὐκ ἐπαύσατο ὑβρίζων. Ἀλέξανδρος δὲ

ἕβδα κελεύων τοὺς στρατιώτας ἀποκτεῖνειν τὸν πονηρόν· οὐδενὸς δὲ πειθομένου, αὐτὸς λόγχην ἁρπάσας ταύτῃ παίσας Κλεῖτον ἀπέκτεινεν.

24. DRESS ACCORDING TO YOUR STATION.

Πάνθεια καίπερ βασίλεια οὖσα οὔτε ἐσθῆτι οὔτε κόσμῳ διέφερε τῶν ἄλλων Αἰγυπτίων. αὕτη δὲ ὁδὸν ἐρήμην βαδίζουσα πόρρω ἀπὸ τῶν βασιλείων ποιμένι τινὶ ἐνέτυχεν. ὁ δὲ τὴν βασίλειαν οὐ γνωρίζων, 'ἀλλ', ὦ γύναι,' ἔφη, 'οὐ δεῖ σε ἐκεῖ μένειν· ἡ γὰρ ὁδὸς στενωτάτη τυγχάνει οὖσα· καὶ σὺ ἐκεῖ μένουσα ἐμποδὼν εἶ τοῖς προβάτοις.' καὶ ταῦτα ἀκούσας δορυφόρος τις τῶν παρόντων, 'ὦ πανοῦργε,' ἔφη, 'τὴν βασίλειαν λοιδορεῖς;' οὐ ταῦτα τῷ ποιμένι ἔμελε, καὶ ἔφη, 'εἰ ἐκείνη ἀληθῶς ἐστιν βασίλεια, δεῖ αὐτὴν φορεῖν ἐσθῆτα βασιλικὴν ὥστε πάντας τοὺς ἀνθρώπους γνωρίζειν αὐτὴν παριοῦσαν.'

25. ALCIBIADES TRIPS PERICLES IN A DEFINITION OF LAW.

Α. οἶσθα, ὦ Περίκλεις, τί νόμος ἐστίν; Π. μάλιστα, εἴ τι οἶδα, ὦ Ἀλκιβιάδη. Α. ἀλλὰ λέξον μοι τί ἐστιν· ἐὰν γὰρ ἀκούω ἄνδρας τινὰς καλουμένους νομίμους, δοκεῖ μοι δεῖν αὐτοὺς εἰδέναι ὅ τι νόμος ἐστὶν πρὶν λαβεῖν τοῦτο τὸ ὄνομα. Π. οὐδὲν χαλεπὸν ἐρωτᾷς· οὗτος γὰρ νόμος ἐστὶν ὅ τι τὸ πλῆθος ἐν τῇ πόλει λέγει δεῖν πάντας τοὺς πολίτας ποιεῖν ἢ μὴ ποιεῖν. Α. ἀλλά, εἰ ὀλιγαρχία ἢ τύραννος λέγει τὰ αὐτά, εἰσὶ ταῦτα νόμοι; Π. ναί. Α. ἀλλά, δεῖ ταῦτα ἀγαθὰ ἢ κακὰ εἶναι; Π. ἀγαθὰ δήπου, καὶ οὐ κακά. Α. εἰ δὲ τὸ ἐν τῇ πόλει ἄρχον, εἴτε τὸ πλῆθος εἴτε τύραννος εἴτε ὀλιγαρχία, ἀναγκάζει τοὺς πολίτας ποιεῖν ἃ μὴ βούλονται ἢ ἃ κακά ἐστι, ταῦτα νόμος ἐστὶν ἢ ἀνομία καὶ βία; Π. οἶμαι ταῦτα ἀνομίαν καὶ βίαν εἶναι. Α. ὁ οὖν ἄρτι ἔλεγες νόμον εἶναι, νῦν λέγεις οὐκ εἶναι. ἆρα οὕτω πως ἔχει; ὁ δὲ Περικλῆς γελάσας τῷ Ἀλκιβιάδῃ ἔφη, 'ἔγωγε νεώτερος ὢν δεινὸς λέγειν ἦν· ἐσοφιζόμην γὰρ ὥσπερ καὶ σὺ νῦν ἐμοὶ δοκεῖς.'

26. GREEK LEGEND OF THE DELUGE.

ἐπεὶ Διὶ ἔδοξε τὸ ἀνθρώπινον γένος ἀφανίσαι, Δευκαλίων πλοῖον ἐποίει καὶ εἰς αὐτὸ τὰ ἐπιτήδεια ἐνετίθετο. ἔπειτα δ' αὐτὸς καὶ Πύρρα εἰσέβησαν. Ζεὺς δὲ πολὺν ὑετὸν ἀπ' οὐρανοῦ κατέπεμπεν ὃς τὰ πλεῖστα μέρη τῆς Ἑλλάδος κατεκάλυπτεν ὥστε διαφθεῖραι πάντας ἀνθρώπους. ἀλλὰ Δευκαλίων ἐν λάρνακι διὰ τῆς θαλάσσης ἐφέρετο ἡμέρας ἐννέα καὶ νύκτας. τέλος δὲ τῶν ὄμβρων παυσαμένων, Δευκαλίων ἐξέβη ἐπὶ τὴν γῆν καὶ ἔθυε Διί. Ζεὺς δὲ πέμψας Ἑρμῆν πρὸς αὐτὸν ἔλεγε, 'δίδωμί σοι αἰτεῖσθαι ὅ τι βούλει.'

Ἑρμοῦ δὲ ταῦτα εἰπόντος, Δευκαλίων ἔλεξεν ὅτι ἐθέλει ἀνθρώπους αὖθις γίγνεσθαι. Ἑρμῆς οὖν ἐκέλευεν αὐτὸν αἴρειν ὑπὲρ τῆς κεφαλῆς λίθους καὶ βάλλειν, καὶ Πύρραν, τὴν γυναῖκα αὐτοῦ, τὸ αὐτὸ ποιεῖν. καὶ οὓς μὲν ἔβαλλεν ὁ Δευκαλίων, ἄνδρες ἐγίγνοντο· οὓς δὲ Πύρρα, γυναῖκες.

27. I. SOCRATES TO HIS JUDGES: 'BETTER DEATH THAN INFAMY.'

ἐπεὶ ὁ Σωκράτης ὑπὸ τῶν δικαστῶν ἐθανατώθη, ἔλεγεν αὐτοῖς τοιάδε· 'ἔγωγε, ὦ Ἀθηναῖοι, λέγω ὑμῖν ὅτι οὐ χαλεπόν ἐστι θάνατον ἐκφυγεῖν ἐάν τις τολμᾷ πᾶν ποιεῖν καὶ λέγειν, ἀλλὰ χαλεπώτατον ἐκφυγεῖν κακίαν· αὕτη γὰρ θᾶττον τρέχει τοῦ θανάτου. καὶ νῦν ἐγὼ μὲν βραδὺς ὢν καὶ πρεσβύτης σύνοιδα ἐμαυτῷ ὅτι ὁ βραδύτερος, θάνατος, ἐγγύς ἐστι. τοὺς δὲ κατηγόρους μου, κακοὺς ὄντας, κατέλαβεν ὁ θᾶττων, ἡ κακία. καὶ νῦν ἐγὼ ἄπειμι ὑφ' ὑμῶν θανατωθείς. οὗτοι δὲ οἱ κατηγορήσαντές μου ἀπίασιν ὡς ἄδικοι καὶ κακοὶ ὄντες, ὧν ἡ ἀλήθεια κατηγορήσει.'

28. II. DEATH NOT AN ETERNAL SLEEP.

'εὐέλπις μὲν οὖν ἐγώ εἰμι πρὸς τὸν θάνατον· εἰ γὰρ μηδεμία αἴσθησίς ἐστιν, ἀλλὰ θάνατος ὕπνῳ ὅμοιός ἐστι, θαυμάσιον κέρδος ἐστίν. εἰ μέν, ὡς ἐγὼ οἶμαι, μεταβολή τις τυγχάνει οὖσα καὶ μετοίκησις τῇ ψυχῇ τοῦδε τοῦ τόπου εἰς ἄλλον, ἀληθῆ δέ ἐστι τὰ λεγόμενα, ὡς ἐκεῖ εἰσιν ἅπαντες οἱ τεθνηκότες, τίνος μείζονος ἀγαθοῦ ἢ τούτου χρή τινα ἐπιθυμεῖν αὐτῷ γίγνεσθαι;'

29. III. GOD CARES FOR A GOOD MAN.

'ὥστε καὶ ὑμᾶς χρή, ὦ ἄνδρες, εὐέλπιδας εἶναι πρὸς τὸν θάνατον καὶ τοῦτο διανοεῖσθαι ἀληθές, ὅτι οὐκ ἔστιν ἀνδρὶ ἀγαθῷ κακὸν οὐδέν, οὔτε ζῶντι οὔτε τεθνηκότι· οὐδὲ ἀμελεῖται ὑπὸ θεῶν τὰ τοιούτου πράγματα· οὐδὲ ὁ θάνατός μου ἀπὸ τοῦ αὐτομάτου γενήσεται, ἀλλά μοι δῆλόν ἐστι τοῦτο, ὅτι ἤδη ἀπαλλαγῆναι τοῦ βίου τε καὶ πραγμάτων βέλτιον ἦν μοι. ὥρα νῦν ἐστιν ἀπιέναι, ἐμοὶ μὲν ἀποθανουμένῳ, ὑμῖν δὲ βιωσομένοις· ὁπότεροι δὲ ἡμῶν ἔρχονται ἐπὶ ἄμεινον πρᾶγμα, ἄδηλον ἐστὶ παντὶ πλὴν τοῦ θεοῦ.

30. IV. HE NOBLY MEETS HIS END.

ταῦτα εἰπὼν Σωκράτης ἀπῄγετο εἰς τὸ δεσμωτήριον ἐν ᾧ ἡμέρας τριάκοντα ἔμενε διαλεγόμενος τοῖς φίλοις. οὐ γὰρ νόμος τις εἶα τοὺς Ἀθηναίους ἀποκτείνειν αὐτὸν ταύτας τὰς ἡμέρας, φοβουμένους μὴ

ἡ πόλις κακόν τι λάβοι. Κρίτων δέ, ὃς μάλιστα ἐφίλει Σωκράτην, ἔπειθεν αὐτὸν ἐκφυγεῖν εἰς Θετταλίαν, λέγων, ' ἐγώ, ὦ Σώκρατες, χρήματα πολλὰ ἔχω ὥστε ἵππους παρέχειν εἰς τὴν ὁδόν, καὶ ξένους ἐν ἐκείνῃ τῇ χώρᾳ οἳ τὰ ἐπιτήδεια δώσουσί σοι. πείθου οὖν ἐμοὶ καὶ ποίει ἃ λέγω ἵνα μὴ ἀποθάνῃς.' ἀλλ' οὐκ ἤθελεν ὁ Σωκράτης. ' ἐὰν γάρ,' ἔφη, ' οὕτω ποιήσω, φανοῦμαι ὢν ἀνθρώπων κάκιστος, οὐ πειθόμενος τοῖς νόμοις οὓς ἀεὶ ἐκέλευον πάντας τιμᾶν.' ἐτελεύτησεν οὖν, ὡς ἐκέλευσαν οἱ δικασταί, τὸ κώνειον πιών.

31. CUSTOM OF THE TRAUSI.

πάντα μὲν τὰ ἄλλα οἱ Τραυσοὶ τὰ αὐτὰ ποιοῦσιν ἃ καὶ οἱ ἄλλοι Θρᾷκες· ἐν δὲ διαφέρουσιν· ἐπειδὰν γὰρ παῖς γένηται οἱ Τραυσοὶ ποιοῦσι τοιάδε· οἱ φίλοι ἐν κύκλῳ καθήμενοι ὀλοφύρονται, διεξερχόμενοι τὰ ἀνθρώπεια πάθη ἃ δεῖ τὸ νεογενὲς πάσχειν. ἐπειδὰν δέ τις ἀποθάνῃ, παίζοντές τε καὶ ἡδόμενοι γῇ κρύπτουσιν ἡδέως, ἐπιλέγοντες ὅτι ἐστὶν ἐν πάσῃ εὐδαιμονίᾳ ὡς ἐλεύθερος πολλῶν κακῶν ὤν.

32. NEWS FROM LEUCTRA. ATHENS PUZZLED.

οἱ δὲ Θηβαῖοι εὐθὺς μετὰ τὴν μάχην ἔπεμψαν εἰς Ἀθήνας ἄγγελον ὃς κελεύσει αὐτοὺς βοηθεῖν, λέγοντες, ' νῦν ἔξεστι τοὺς Λακεδαιμονίους κολάζειν ἀνθ' ὧν κακῶς πεποιήκασιν. καὶ γὰρ ἐν Λεύκτροις αὐτοὺς ἐνικήσαμεν καὶ νῦν δὴ φεύγουσιν οἴκαδε.' ἡ δὲ βουλὴ τῶν Ἀθηναίων ἐτύγχανεν ἐν ἀκροπόλει καθημένη. ἐπεὶ δ' ἤκουσαν τὸ γεγενημένον, δῆλον ἦν πᾶσιν ὅτι λίαν ἐλυπήθησαν· μισοῦντες γὰρ τοὺς Λακεδαιμονίους οὐκ ἐφίλουν τοὺς Θηβαίους. ὅ τι οὖν ποιοῖεν οὐκ εἰδότες τῷ ἀγγέλῳ οὐδὲν ἀπεκρίναντο, καὶ Ἀθήνηθεν οὕτως ἀπῆλθεν ὁ κῆρυξ.

33. I. CYRUS PROPOSES TO RULE,

ὅτε παῖς ἦν δεκαετὴς ὁ Κῦρος, ἔπαιζε μετὰ ἄλλων παίδων ἐν τῇ κώμῃ· οἱ δὲ παίζοντες εἵλοντο τὸν Κῦρον βασιλέα. ὁ δὲ προσέταττεν αὐτοῖς τὰ ἔργα ἃ ἐβούλετο ἕκαστον ποιεῖν. εἷς δὲ αὐτῶν, Ἀρτεμβάρους υἱός, οὐκ ἐποίησεν ἃ Κῦρος προσέταξεν. ἐκέλευσεν οὖν ὁ Κῦρος τοὺς ἄλλους παῖδας συλλαβεῖν αὐτόν· οἱ δὲ ἐπείθοντο. τότε δὴ ὁ Κῦρος ἐμαστίγωσε τὸν παῖδα ἰσχυρῶς· ὁ δὲ ἔδραμεν εἰς τὴν πόλιν πρὸς τὸν πατέρα δακρύων. ὁ δὲ Ἀρτεμβάρης ὀργιζόμενος ἦγαγε τὸν παῖδα παρὰ τὸν βασιλέα Ἀστυάγη καὶ ἔλεγεν αὐτῷ τὰ ὑπὸ Κύρου πεπραγμένα.

34. II. AND GIVES GOOD REASONS THEREFOR.

ἀκούσας δὲ ὁ Ἀστυάγης μετεπέμψατο τὸν Κῦρον καὶ βλέψας πρὸς αὐτὸν ἔφη, ' σὺ δὴ ἐτόλμησας τὸν Ἀρτεμβάρους παῖδα ὧδε ὑβρίσαι;' ὁ δὲ Κῦρος ἀπεκρίνατο, ' ἐγώ, ὦ βασιλεῦ, δικαίως ταῦτα ἐποίησα· οἱ γὰρ ἐκ τῆς κώμης παῖδες εἵλοντο ἐμὲ ἑαυτῶν εἶναι βασιλέα. καὶ οἱ μὲν ἄλλοι παῖδες ἐποίουν τὰ ὑπὸ ἐμοῦ προστταττόμενα, οὗτος δὲ οὐκ ἐπείθετό μοι· διὰ τοῦτο πληγὰς ἔλαβεν. εἰ οὖν τούτων ἕνεκα δίκαιόν ἐστιν ἐμὲ κολάζεσθαι, ἑτοιμός εἰμι πάσχειν.' ἀκούσας ταῦτα ὁ Ἀστυάγης ἀπέπεμψε τὸν Ἀρτεμβάρη λέγων, ' ἐμοί, Ἀρτέμβαρες, μελήσει ὅπως μήτε σὺ ἐπιμέμψῃ ἐμοὶ μήτε ὁ παῖς.'

35. NO PURITAN LAUGHS IN COMPANY.

οἱ Πυριτανοὶ ἐλέγοντο οὕτω σεμνοὶ εἶναι ὥστε γελάσαι μήποτε ἐθέλειν, μηδ' εἴ τις αὐτοῖς λέγοι γελοιότατα. καί ποτε τις ξένος, Ματθαῖος ὄνομα, καθήκων εἰς τὴν πόλιν τοὺς πολίτας τέρπειν ἐβούλετο τῇ τέχνῃ· ἦν γὰρ τῶν τότε κωμῳδῶν πολὺ ἄριστος. εἰς δὲ τὸν ῥητὸν χρόνον πολλοὶ ἄνδρες παρῆσαν ἐν τῷ θεάτρῳ καὶ πολλαὶ γυναῖκες. ὁ δὲ Ματθαῖος πέπλῳ κοσμηθεὶς κωμικῷ πολλὰ ἔλεξε γελοίως καὶ ἐποίησεν. οἱ δὲ ἐν τῷ θεάτρῳ παρόντες πάντα ἤκουον σπουδαίως, ἀλλ' οὔτε ἐθορύβησαν οὐδέν, οὔτε ἐγέλασαν. τέλος δὲ ὁ Ματθαῖος ἠθύμησεν ὡς οὐδένα τέρψαι δυνάμενος. τῇ δὲ ὑστεραίᾳ Πυριτανός τις τῷ Ματθαίῳ ἀπαντήσας, ' ἀλλά,' ἔφη, ' ὡς γελοίως πάντα τότε ἔλεγες, ὡς πλεῖστον ἐπεθύμουν γελᾶν, ἀλλὰ τοῖς Πυριτανοῖς οὐκ ἔξεστι τοιαῦτα ποιεῖν, τῶν γε γυναικῶν παρουσῶν.'

36. I. DRINK STEALS AWAY MEN'S BRAINS.

ἦν ποτέ τις Εὔδοξος, τὰ μὲν ἄλλα ἀνὴρ ὢν οὐκ ἄχρηστος· οἱ δὲ φίλοι τοῦτο αὐτῷ ἐμέμφοντο ὅτι οἶνον ἐφίλει σφόδρα. ὁ δέ ποτε παρὼν ἐν συμποσίῳ μεθ' ἑταίρων οὐκ ὀλίγων τοσοῦτον οἶνον ἔπινεν ὥστε ὑπομαχεῖν οὐκ ἐδύνατο. καὶ οἱ μὲν ἄλλοι ξένοι κολάσαι αὐτὸν ἐβούλοντο· πάντες γὰρ τὴν τοῦ ἀνδρὸς ἀναισχυντίαν χαλεπῶς ἔφερον. Φιλίππῳ δέ τινι παρόντι ταῦτα οὐκ εὖ ἔχειν ἔδοξε· μάλα γὰρ φιλοπαίγμων ἦν. ' ἀλλὰ μή,' ἔφη, ' τῷ ἀνδρὶ ὀργιζώμεθα, μᾶλλον δὲ πρὸς αὐτὸν παίζωμεν, ἐάν πως παύσωμεν αὐτὸν τῆς φιλοποσίας.' ταῦτα δὲ λέγων ἔπεισε τοὺς ἄλλους ποιεῖν ἃ ἐμηχανήσατο.

37. II. A PRACTICAL JOKE REPLACES THEM FOR ONCE.

Φίλιππος μὲν οὖν ἐκέλευσε τοὺς δούλους πάσας τὰς λαμπάδας ἀφαιρεῖν ἐκ τοῦ οἰκήματος. οἱ δὲ δοῦλοι ταῦτα ποιήσαντες Εὔδοξον μόγις ἤγειρον ἐκ τοῦ ὕπνου. ὁ δὲ ἐγερθεὶς χρόνων μέν τινα οὐδὲν ἔλεγεν· ἐθαύμαζε γάρ, ὡς εἰκός, ἃ πάσχει· οἱ γὰρ ἄλλοι ξένοι τῷ

Φιλίππῳ πειθόμενοι ἐν τῷ σκότῳ ἔπινον ὥστε ἡμέρα ἦν, οὐδὲ ἐπαύσαντο διαλεγόμενοι. τέλος δέ, ὡς οἱ μὲν ἄλλοι πάντες βλέπειν ἐδόκουν, αὐτὸς δὲ μόνος οὐκ ἐδύνατο, Εὔδοξος ἐκπλαγείς, ' οἴμοι ἐμοί,' ἔφη, ' ὡς ἀξίως πάσχω τῆς φιλοποσίας· καθεύδων γὰρ τετύφλωμαι τὰ ὄμματα.'

38. I. I BRAND HIM AS A HORSE-THIEF.

Ἀθηναῖός τις ἵππον ἔχων κάλλιστον ἐφύλαττε μὲν αὐτὸν ἐπιμελῶς δι' ἡμέρας. νυκτὸς δέ ποτε τοιχωρύχος τις διορύξας τὸν τοῖχον ἔκλεψε τὸν ἵππον. ὁ μὲν οὖν Ἀθηναῖος ταῦτα αἰσθόμενος μεγάλῃ ἀπορίᾳ κατείχετο· οὐδένα γὰρ ἔσχεν αἰτιάσασθαι τῆς κλοπῆς. τέλος δὲ ἐμνημόνευσεν ὅτι Λυτολυκός τις ὄνομα εἶχε κλεπτικὸς καὶ πανοῦργος εἶναι. ἔδοξεν οὖν αὐτῷ ἐλθόντι πρὸς τοὺς δικαστὰς ἐκεῖνον κατηγορεῖν ὡς τὸν ἵππον κλέψαντος. καὶ πάντα τὸν λόγον διεξελθὼν τοὺς μὲν πολλοὺς ἔπειθε· πάντες γὰρ ἐγίγνωσκον τὸν ἄνδρα φῶρα ὄντα καὶ πᾶσι τοῖς κακοῖς καὶ ἀγαθοῖς βαρύν.

39. II. THE RASCAL PROVES AN ALIBI!

ἀλλ’ οἱ γε δικασταὶ δείσαντες μὴ δόκωσι τὸν ἄνδρα θανατῶσαι ἀδίκως ἐκέλευσαν αὐτὸν λέγειν εἰ βούλεται τί ἀντιεπεῖν. ὁ δὲ Αὐτόλυκος, “ἀλλ’, ὦ δικασταί,” ἔφη, “οὐ δικαίως εἰμὶ δίκην οὐδεμίαν τιμωρίαν διὰ ταῦτα· ἐγὼ γὰρ τότε οὐ παρὴν ἐν Ἀθήναις· πολὺν γὰρ ἤδη χρόνον τοῦ Μεγαρέως τινὸς βοῦν ποθῶν ἔχειν, ἐχθὲς αὐτοῦ ἔκλεψα· τὰ δὲ Μέγαρα μακρότατά ἐπ’ ἐστὶν ἀπὸ τῶν Ἀθηνῶν.” οἱ οὖν δικασταὶ ταῦτα ἀκούσαντες εὐθὺς ἀπέλυσαν τὸν ἄνδρα· οὐ γὰρ ἔφασαν δυνατὸν εἶναι ἅμα ἐν τοῖς Μεγάροις κλέπτειν καὶ ἐν ταῖς Ἀθήναις.

40. THE FROGS ASK ZEUS FOR A KING

βάτραχοι ποτὲ ἐπέμψαν πρέσβεις πρὸς τὸν Δία, δεόμενοι αὐτοῦ αὐτοῖς βασιλέα παρασχεῖν.
ὁ δὲ ξύλον εἰς τὴν λίμνην καθῆκε. τὸ μὲν πρῶτον οἱ βάτραχοι φοβηθέντες εἰς τὰ βάθη τῆς λίμνης ἑαυτοὺς ἔρριψαν· ὕστερον δέ, ἐπεὶ τὸ ξύλον ἀκίνητον ἦν, ἀνεθαρρήσαν τε καὶ εὐθὺς εἰς τοσοῦτον καταφρονήσεως ἦλθον ὥστε ἐπιβαίνοντες ἐπ’ αὐτοῦ ἐπεκαθέζεσθαι. καὶ νομίσαντες αὐτοῖς εἶναι τοιοῦτον βασιλέα ἔχειν, πάλιν ἦλθον πρὸς τὸν Δία καὶ αὐτὸν παρεκάλουν ἀλλάξαι αὐτοῖς τὸν ἄρχοντα· τὸν γὰρ πρῶτον ἔφασαν λίαν ἀνόητον εἶναι. καὶ ὁ Ζεὺς ἀγανακτήσας αὐτοῖς ὕδραν ἐπέπεμψεν ὑφ’ ἣν κατεπίνοντο.

41. COCK-FIGHTING AT ATHENS

νικήσαντες ποτὲ τοὺς Πέρσας οἱ Ἀθηναῖοι νόμον ἔθεντο ἀλεκτρυόνας ἀγωνίζεσθαι δημοσίᾳ ἐν τῷ θεάτρῳ μίᾳ ἡμέρᾳ τοῦ ἔτους. πόθεν δὲ τὴν ἀρχὴν ἔλαβεν οὗτος ὁ νόμος διηγήσομαι. ἐπεὶ γὰρ Θεμιστοκλῆς ἐπὶ τοὺς βαρβάρους ἐξῆγε τὴν στρατιάν, ἀλεκτρυόνας κατὰ τύχην ἐθεάσατο μαχομένους· οὐδὲ ἀργῶς αὐτοὺς εἶδεν· ἐπιστήσας δὲ τὴν στρατιὰν ἔλεξέ τοῖς στρατιώταις τοιάδε· “ἀλλ’ οὗτοι μὲν, οὐχ ὑπὲρ πατρίδος, οὐδὲ ὑπὲρ πατρῴων θεῶν, οὐδὲ μὴν ὑπὲρ προγόνων τύμβων κακοπαδούντες, οὐδὲ ὑπὲρ ἐλευθερίας, οὐδὲ ὑπὲρ τέκνων ἠμάχοντο, ἀλλ’ ἵνα μήτε νικηθῶσι μήτε ἡττηθῶσι.” ταῦτα δὴ εἰπὼν ἐποίησε τοὺς Ἀθηναίους προθύμως μάχεσθαι. τὸ τοινοῦν γενόμενον αὐτοῖς σύνθημα εἰς ἀρετὴν ἐβολήθησαν διαφυλάττειν καὶ εἰς τὰ ὅμοια ἔργα ὑπομνήσιν ποιεῖν τοῖς ἐσομένοις.

42. GOOD ADVICE REJECTED

παρασκευαζομένου δὲ Κροίσου στρατεύεσθαι ἐπὶ Πέρσας, τῶν Λυδῶν τις νομίζομενος πρόσθεν εἶναι σοφὸς συνεβούλευσε Κροίσῳ τάδε· “ὦ βασιλεῦ, ἐπ’ ἄνδρας τοιούτους στρατεύεσθαι παρασκεάζῃ, αἱ σκυτῖναι μὲν ἀναξυρίδες, σκυτῖνη δὲ ἡ ἄλλη στολὴ φοροῦσι, σίτωνται δὲ οὐχ ὅσα ἐθέλουσιν, ἀλλ’ ὅσα ἔχουσιν· ἔχουσι γὰρ χώραν τραχεῖαν καὶ μεστὴν ὀρῶν. πρὸς δὲ τούτους οὐκ ἔστιν οἶνος αὐτοῖς, ἀλλ’ ὕδωρ πίνουσιν· οὐ σῦκα δὲ ἔχουσι τρώγειν, οὐδ’ ἄλλο ἀγαθὸν οὐδέν.τοῦτο μέν δη, εἰ νικήσεις, τί λήψῃ, ὅτε αὐτοῖς γε οὐδὲν ἔστιν ἄξιον ἀποφέρεσθαι· ἐὰν δὲ νικηθῇς, μάθε ὅτι πολλὰ καὶ ἀγαθὰ ἀποβαλεῖς· εὑρόντες γὰρ ἐν τῇ χώρᾳ ἡμῶν ἀγαθὰ δεῦρο ἀναβήσονται καὶ οὐ δύνανται ἔτι ἐκβαλεῖν.” ταῦτα δὲ λέγων οὐκ ἔπειθε τὸν Κροῖσον.

43. ONE PHYSICIAN LESS

Τίμων ὁ Κορίνθιος οὕτω φιλάνθρωπος ἦν ὥστε ἠθέλειν μὴ μόνον τοὺς φίλους εὐεργετῆσαι, ἀλλὰ καὶ τοὺς ἐχθρούς. καί ποτε ἰὼν εἰς ἄλλην χώραν ἐκέλευσε μεταπεμψάμενος ἰατρὸν ἐκεῖνον αὐτοῦ ἰάσασθαι τὴν νόσον. ὁ δὲ ἰατρός, ἀνὴρ ὢν ἄπειρος, οὕτως ἀσυνέτως ἐθεράπευεν αὐτὸν ὥστε τὴν νόσον μέγα αὐξάνειν. ὁ δὲ Τίμων μετὰ χρόνον οὐκ ὀλίγον μόγις ἐκ τῆς νόσου ἰσχύσας, ἐπέμψε πολὺν χρυσὸν πρὸς τὸν ἰατρόν. “οὗτος γάρ,” ἔφη, “πλούσιος ὢν γενόμενος παύσεται ἰατρεύων· ἰατρὸς γὰρ ἄπειρος τοῖς νοσοῦσι μεῖζον κακὸν ἐστὶ τῆς νόσου αὐτῆς.”

44. WAR HAS THREE SERVANTS

βασιλεύς τις ποτὲ χωρίον πολιορκήσας, βίᾳ ἑλεῖν οὐκ ἐδύνατο· τὰ

μὲν γὰρ τείχη ὑψηλὰ ἦν, οἱ δὲ πολῖται ἡμύνοντο ἀνδρείως. οὐν ἀποκλεῖσαι τὰς ἐφόδους τῶν ἐπιτηδείων. Τέλος δὲ οἱ πολῖται εἰς τοσαύτην ἀπορίαν ἦλθον ὥστε τὰς γυναῖκας καὶ τοὺς παῖδας πάντας ἐξέβαλον ἐκ τῆς πόλεως. Ὁ δὲ βασιλεὺς ταῦτα ἰδὼν ἐκέλευσε τοὺς στρατιώτας εἰσάγειν εἰς τὴν πόλιν πάλιν βιάσασθαι. ‘Ὁ γὰρ πόλεμος,’ ἔφη, ‘τρεῖς θεράποντές εἰσι δεινότατοι, οὓς σὺν αὐτῷ ἀεὶ ἀκολουθοῦσιν· εἰσὶ δὲ οἵδε, λοιμὸς καὶ λιμὸς καὶ φόνος· ἐγὼ δὲ τῶν τριῶν τῷ μαλθακωτάτῳ τῶν χρῶμαι.’

45. HOW TO CURE STAGE FRIGHT.

Ἀλκιβιάδης, νεανίας ὤν, σφόδρα ἐδεδοίκει παριέναι εἰς τὸν δῆμον καὶ ἀγορεύειν. Ὁ δὲ Σωκράτης ἀεὶ ἐθάρρυνεν αὐτὸν λέγων τοιάδε. ‘Ὦ φίλε, τί ἀθυμεῖς; οὐ γὰρ δὴ δεδοίκεις ἐκεῖνον τὸν σκυτοτόμον,’ εἰπών τὸ ὄνομα τοῦ ἀνθρώπου,—‘ἀλλὰ καταφρονεῖς αὐτοῦ, εἰκότως· δῆλον γάρ ὅτι σοῦ τὸ γένος πολὺ λαμπρότερόν ἐστιν ἢ ἐκείνου. Ἔτι δὲ ἐκεῖνον τὸν κήρυκα οὐδεὶς ἐκεῖνον αὖ τὸν κεραμέα.’ Ὁ δὲ Ἀλκιβιάδης πρὸς ταῦτα ‘Οὐκ ἐκείνους μὲν οὐ φοβεῖσθαι, ἀλλὰ τὸν δῆμον. Οὔκουν,’ ἔφη, ‘ὁ δῆμος ἐκ τούτων ἤθροισται, καὶ εἰ καταφρονεῖς αὐτῶν καθ᾽ ἕκαστον, δεῖ καταφρονεῖν καὶ τῶν συμπάντων.’

46. SOLON AND ANACHARSIS.

Ἐθαύμαζον, ἀλλὰ καὶ οἱ ἄλλοι Ἕλληνες πάντες καὶ πολλοὶ τῶν βαρβάρων. Ἀκούσας δὲ περὶ τούτων Σκύθης τις ὀνόματι Ἀνάχαρσις ἐβουλεύετο διαλέγεσθαι τῷ Σόλωνι, ἔχων καὶ αὐτὸς δόξαν ἐν τῇ πατρίδι ὡς σοφὸς ὤν. Πλεύσας οὖν εἰς τὰς Ἀθήνας ἔρχεται εἰς τὸ ἐπὶ τῷ ἐκείνου οἰκίᾳ, λέγων, ‘ἀποθένδε ἥκω βουλόμενος ποιεῖσθαι πρὸς σὲ φιλίαν.’ Ὑπολαμβάνει οὖν ὁ Σόλων, ‘βέλτιόν ἐστι ποιεῖσθαι φιλίας οἴκοι.’ Ὁ δὲ Ἀνάχαρσις ἀποκρίνεται εὐθύς, ‘Οὔκουν δεῖ σε, οἴκοι ὄντα, ποιεῖσθαι πρὸς ἐμὲ φιλίαν.’ Ἐγέλασε τοίνυν ὁ Σόλων καὶ δέχεται τὸν ἄνθρωπον φιλικῶς.

47. ROUGH WOOING AT ROME.

Συλλέξας ὁ Ῥωμύλος ἐποίκους πολλοὺς καὶ τὴν πόλιν Ῥώμην κτίσας εἶτα ἀπορίαν τινὰ κατέστη. Τῶν γὰρ μετ᾽ αὐτοῦ ἀνδρῶν ὀλίγοι γυναῖκας εἶχον, οἱ δὲ πολλοὶ γαμεῖν βουλόμενοι οὐκ ἐδύναντο· οὐ γὰρ ἦσαν παρ᾽ αὐτοῖς παρθένοι, οὐδὲ οἱ πλησίον προεθυμοῦντο τοῖς τοιούτοις ἀνθρώποις τὰς θυγατέρας ἐκδοῦναι. Πρὸς ταῦτα ἐμηχανήσατο τοιάδε· πρῶτον μὲν λόγους διεδίδου ὑπὸ Ῥωμύλου ὡς μέλλει θεῷ τινι θυσίαν μεγάλην ποιεῖσθαι. Ἀκούσαντες δὲ ταῦτα

πολλοὶ τῶν πλησίον συνῆλθον μετὰ τῶν θυγατέρων ἐπὶ θέαν. Σημείου δὲ γενομένου, οἱ Ῥωμαῖοι μετὰ βοῆς ὁρμήσαντες τὰς μὲν γυναῖκας ἥρπαζον, τοὺς δὲ ἄνδρας σκεδάσαστες ἀπήλασαν.

48. FILIAL AFFECTION REWARDED.

Κλέοβις καὶ Βίτων, Ἀρκάδες ὄντες τὸ γένος, εὐδαίμονες ἦσαν. Αὐτοῖς τε γὰρ χρήματα ἱκανὰ ἦν ὥστε καλῶς διάγειν καὶ ῥώμῃ σώματος ὥστε ἄθλοφόροι ἀμφότεροι ἐγένοντο. Ἑορτῆς δὲ γενομένης τοῖς Ἀρκάσι, πάντως ἔδει τὴν μητέρα αὐτῶν ζεύγει κομισθῆναι εἰς τὸ ἱερόν. Οἳ δὲ βόες ἐκ τοῦ ἀγροῦ οὐ παρεγένοντο ἐν ὥρᾳ, ὥστε οἱ μὲν νεανίαι ζεύξαντες αὐτοὺς ὑπὸ τῷ ζυγῷ εἷλκον τὴν ἅμαξαν, ἡ δὲ μήτηρ ἐπ᾽ αὐτοὺς ἡδέως ᾤχετο. Σταδίους δὲ πέντε καὶ τετταράκοντα διεκέλευον ἀφικόμενοι εἰς τὸ ἱερόν. Ταῦτα δὲ αὐτοῖς ποιήσασι τὸ βίου ἄριστον ἐγένετο. Οἱ μὲν γὰρ Ἀργεῖοι περιστάντες ἐμακάριζον τῶν νεανιῶν τὴν ῥώμην, αἱ δὲ Ἀργεῖαι τὴν μητέρα, ὅτι παῖδες οὕτω πιστοὶ ἦσαν αὐτῇ. Ἡ δὲ περιχαρὴς οὖσα τῷ τε ἔργῳ καὶ τῇ φήμῃ, στᾶσα πρὸ τῆς εἰκόνος τῆς θεοῦ ηὔχετο Κλεόβει τε καὶ Βίτωνι διὰ τοὺς αὐτοὺς τὴν μητέρα μεγάλως τιμῆσαι, τὴν θεὸν δοῦναι ὅτι ἀνθρώπῳ τυχεῖν ἀρίστου ἐστιν. Μετὰ δὲ ταύτην τὴν εὐχήν, οἱ νεανίαι ἐθυσαν, καὶ ἤδη κατακοιμηθέντες ἐν αὐτῷ τῷ ἱερῷ οὔποτε ἔτι ἀνέστησαν. Ἀργεῖοι δὲ αὐτῶν εἰκόνας ποιησάμενοι ἀνέθεσαν εἰς Δελφοὺς ὡς ἀνδρῶν ἀξίων τῆς τιμῆς ἧς ἐδέχοντο.

49. I. A PROFITABLE RADISH FOR THE GARDENER.

Πένης τις ἐν τῷ χωρίῳ ῥαφανῖδα ἔσχε καλλίστην καὶ μεγίστην ὥστε ἰδόντες αὐτὴν οἱ πλησίον πάντες ἐθαύμαζον. Ἔδοξεν οὖν τῷ πένητι αὐτὴν τῷ βασιλεῖ διδόναι. Καὶ εἰς ἄστυ ἐλθὼν προσείπε τοὺς φύλακας, λέγων ὅτι δῶρον φέρει παρὰ τὸν βασιλέα. Οἳ δὲ τὸν ἄνθρωπον εἰς τὰ βασίλεια εἰσήγαγον. Ὁ δὲ ἰδὼν τὸν βασιλέα ἔλεγεν, “Ὦ βασιλεῦ, ἥκω δῶρον φέρων ὅ σοι δοῦναι ἐθέλω.’ Καὶ ὁ βασιλεὺς ἠρώτησε τί τὸ δῶρον εἴη· εἶπεν οὖν ὅτι φαῦλον μὲν τὸ δῶρον εἴη, κτημάτῶν δὲ ὧν ἔχει πολὺ καλλιστόν. Ὁ δὲ βασιλεὺς ἡσθεὶς τῇ εὐνοίᾳ τοῦ ἀνθρώπου χρυσὸν πολὺν αὐτῷ ἐδωρήσατο.

50. II. BUT THE HERDSMAN'S CALF PROVES A TOTAL LOSS.

Μαθὼν δὲ τὰ γενόμενα βουκόλος ἐβούλετο καὶ αὐτὸς τί παρὰ τοῦ βασιλέως λαβεῖν. Ἐκέλευσεν ἐκ τῶν ἑαυτοῦ ἀγελῶν μόσχον τινὰ διαφέροντος καλοῦ τῷ βασιλεῖ ἐδωρήσατο, οἰόμενος ἐκείνου θαυμάσιόν τινα μισθὸν ἀντὶ τούτου δώσειν, ἐπεί γε ἀντὶ ῥαφανῖδος

τοσαῦτα ἔδωκεν. Ὁ δὲ βασιλεὺς οὐκ ἀγνοῶν διὰ τί ταῦτα ἐποίει, ἔλεξε τοιάδε· ‘Δέχομαι μέν, ὦ ἄριστε ἀνθρώπων, τὸν μόσχον ὃν ἄγεις· κενὸν δὲ σε ἀποπέμψειν αἰσχύνομαι· δοκεῖς γὰρ εὔνους ἐμοὶ εἶναι. Δῶρον οὖν σοι δίδωμι εἰς ὅπερ πολὺν χρυσὸν ἄρτι ἐδαπανήσα.’ Ταῦτα δὲ λέξας ἔδωκε τῷ ἀνθρώπῳ τὴν ῥαφανῖδα ἣν ὁ πένης αὐτῷ ἤνεγκεν.

51. I TRAIN MY HORSE TO BE OBEDIENT;

Ἄνθρωπός τις τὸν ἵππον ἔσχε δοκοῦντα καλόν τε εἶναι καὶ συνετόν. Τοῦτον οὖν τὸν ἵππον ἐδίδαξε πάντα ποιεῖν ὅσα κελεύει ὁ δεσπότης. Οὔποτε γὰρ λέξειεν ‘ἔλα,’ ὁ ἵππος ἀκούσας εὐθὺς δρόμῳ ἐθέλει· κελεύοντος δέ τοῦ δεσπότου παύεσθαι, τότε δὴ καὶ τοῦτο ἐποίει. Ἐπικαθήμενος αὐτῷ ὁ ἄνθρωπος εἶδέ ποτε δένδρον παρὰ τῇ ὁδῷ πεφυτευμένον ἐφ᾽ ᾧ μῆλα πολλὰ ἦν. Ἰδὼν δὲ ἐχάρη· ἡμέρας γὰρ θερμῆς οὔσης ἐδήει. Ἐλάσας δὲ ὑπὸ τὸ δένδρον ἐκέλευσε τὸν ἵππον παύεσθαι. Ὁ μὲν οὖν ἵππος ὑπακούσας ἐποίησε τὸ προστεταγμένον. Ὁ δὲ ἄνθρωπος τὴν χεῖρα ἐξέτεινεν, ἵνα τὰ μῆλα λάβοι.

52. II. IN FACT, RATHER TOO OBEDIENT.

Ἐπεὶ δὲ ὑψηλὸν ἦν τὸ δένδρον, ἐπαναστὰς ὁ ἄνθρωπος ἐπὶ τοῦ νώτου τοῦ ἵππου, οὕτω τῶν μήλων ὠρέχθη. Μεταξὺ δὲ ἐσθίων ἔλεξε τοιάδε· “Ὦ μακάριος ἐγὼ τῆς σοφίας, ὡς δεδίδαχα οὕτως εὖ τὸν ἵππον ᾧ χρὴ ποιεῖν ἑκασταχοῦ· νῦν μὲν γὰρ κελεύσας αὐτὸν παύεσθαι τοῦ δρόμου τάδε τὰ μῆλα πάνυ ἡσύχως κατέσθιω. Ὅταν δὲ ἄλις ἔχω αὐτῶν οἶδα ὅτι ταχέως αὖθις ἄρχεται τῆς πορείας ἐὰν μόνον λέξω ‘ἔλα.’” Τοσαῦτα οὖν εἶπεν ὁ ἄνθρωπος καὶ δι᾽ ἡδονὴν ἐπέτεινε τὴν φωνήν. Ἀκούσας δὲ ὁ ἵππος τὸ ‘ἔλα,’ δρόμῳ εὐθὺς προεχώρησεν. Ἀποπεσὼν δὲ αὐτίκα ὁ ἄνθρωπος ἔκειτο ἐν τῇ ὁδῷ καλουδούμενος.

53. AN INSTANCE OF HARMFUL CHARITY.

Σατράπης τις ἀποστὰς ἀπὸ τοῦ βασιλέως ἐπολιορκεῖτο. Δείσας δὲ μὴ τὰ σιτία αὐτῷ ἐπιλείποι, ἀπέπεμψεν ἐκ τῆς πόλεως τοὺς πενεστάτους τῶν πολιτῶν. Οἱ μὲν οὖν ἐξῄεσαν μετὰ τῶν γυναικῶν καὶ τῶν παίδων εἰς χιλίους καὶ ἑπτακοσίους. Ὁ δὲ βασιλεὺς οἰκτίρας αὐτοὺς τοῦ πάθους, ἐν τῷ ἑαυτοῦ στρατοπέδῳ ἐδέξατο πάντας φιλοφρόνως, ἐπιτήδεια τε παρέχων αὐτοῖς, καὶ χρήματα καθ᾽ ἕκαστον ἄνδρα στατῆρας δύο. Μετὰ δὲ ταῦτα ὁ σατράπης καὶ ἄλλους ἀπέπεμπε πεντακοσίους. Ὁ δὲ βασιλεὺς οὐχ ὁμοίως τούτους ἐδέξατο, ἀλλ᾽ ἐκέλευσεν αὐτοὺς εἰσϊέναι αὖθις εἰς τὴν πόλιν· ‘Χρὴ

γάρ,’ ἔφη, ‘φιλανθρωπεῖν μὲν εἶναι, μαλακὸν δὲ μή.’

54. I. A CURIOUS DISEASE.

Λέγει Δῆμος τις ὡς καθημένος ποτε ἐν πόλει τινὶ πρὸ τοῦ βουλευτηρίου παρῆσαν μετ᾽ αὐτοῦ καὶ τῶν βουλευτῶν ἕξ ἢ ἑπτά. Διαλεγόμενοι δὲ ἐν ἀλλήλοις κατεῖδον ἄνθρωπον αὐτοῖς προσιόντα καὶ δοκοῦντα πτωχὸν τε εἶναι καὶ βούλεσθαι παρ᾽ αὐτῶν λαμβάνειν. Εὐθὺς οὖν ἀφικόμενος οὗτος ἤρξατο δακρύων, λέγων ὡς ἐν μυρίᾳ πενίᾳ ἐστὶ διὰ νόσον τινὰ δεινοτάτην ἥπερ βαρέως ἐγκειμένη οὐκ ἐᾷ αὐτὸν ἐπιτελεῖν ἔργον οὐδέν, οὐδὲ τροφὴν οὐδαμόθεν εὑρίσκειν. Ἀκούσαντες δὲ ἐκεῖνοι μὲν ἠρώτων τίς ἡ νόσος εἴη· ὁ δέ, ‘Ἀλλ᾽ οὐ δύναμαι,’ φησίν, ‘ὦ ἄνδρες, ταῦτα ὑμῖν διηγεῖσθαι, πλὴν ὅτι χαλεπωτάτη ἡ νόσος ἐστίν.’

55. II. WHICH PROVES TO BE LAZINESS.

Ὁ μὲν οὖν πτωχὸς τοσαῦτα εἶπεν· οἱ δὲ αὐτὸν ἐλεήσαντες καὶ δόντες ὅσα ἑκάστῳ ἐδόκει, ἀπέπεμψαν. Ὕστερον δὲ βουλόμενοι μανθάνειν ἀκριβέστερον τὴν τῆς νόσου φύσιν ἐκέλευσαν δοῦλον ὅσπερ τῆς ἰατρικῆς ἐμπειρος ὢν θεῖν σκεψόμενον αὐτὸν πρὶν ἀπιέναι εἰς ἄλλην πόλιν. Οὗτος οὖν ἐπιγενόμενος τῷ πτωχῷ ἐπεσκόπει αὐτοῦ τὸ σῶμα πᾶν· οὐ μέντοι νόσου οὐδεμιᾶς σημεῖα ηὕρισκε. Θαυμάσας οὖν πρὸς ταῦτα, ‘Ὦ ἄνθρωπε,’ ἔφη, ‘ποίαν δὴ νόσον ἔχεις; δοκεῖς γὰρ ἐμοί γε πάνυ ὑγιὴς εἶναι.’ Ὁ δὲ ἀπεῖπεν, ‘Ἀλλ᾽ ὡς ἀληθῶς δεινοτάτη μοι ἡ νόσος ἐστίν, εἰ καὶ ἀφανὴς οὖσα τυγχάνει· περιέχει γὰρ μου τὸ πᾶν σῶμα, τὸ ὄνομα αὐτῆς ἐστιν ἀργία.’

56. I. MELEAGER'S LIFE SAVED BY A FIREBRAND.

Νεανίσκος τις ἐν τῇ Ἑλλάδι ποτέ ἦν, ὀνόματι Μελέαγρος, καλός τε καὶ ἀγαθός, ὁ δὲ πατὴρ αὐτοῦ Οἰνεὺς ἐβασίλευε Καλυδῶνος. Περὶ τούτου οὖν λόγος ἐστὶ τῶν πάλαι ποιητῶν ὡς παῖς νεογενὴς ἔκειτο ποτε ἐν τοῖς βασιλείοις. Ἔτυχε δὲ χειμῶν τότε ὢν καὶ δαλὸς ἐκαίετο ἐπὶ τῆς ἑστίας. Εἰσελθοῦσαι δὲ εἰς τὴν οἰκίαν αἱ Μοῖραι εἶπον τῇ τοῦ παιδὸς μητρὶ Ἀλθαίᾳ ὡς ὁ Μελέαγρος τότε ἀποθανεῖται ὅταν ὁ δαλὸς ὁ καιόμενος κατακαυθῇ. Ἀκούσασα δὲ ἡ Ἀλθαία τὰ ὑπὸ τούτων λεγόμενα ἀνήρπασεν εὐθὺς ἐκ τοῦ πυρὸς τὸν δαλόν, καὶ σβέσασα αὐτὸν ἔσωζεν ἐν λάρνακι.

57. II. WHICH FINALLY CAUSES HIS DEATH.

Ἐπεὶ δὲ Μελέαγρος ἀνὴρ ἐγένετο, ὗς ἄγριος τὴν χώραν διέφθειρε. Συγκαλέσας οὖν ἐκ τῆς Ἑλλάδος τοὺς ἀρίστους πάντας ὁ Μελέαγρος ἐπὶ τοῦτον ἐξῆει. Οἱ δὲ ἀδελφοὶ τῆς Ἀλθαίας μετέσχον ταύτης τῆς θήρας, ἦλθε δὲ καὶ παρθένος τις καλλίστη ὀνόματι Ἀταλάντη. Ἀποκτείνας οὖν τὸν ὗν ὁ Μελέαγρος τῇ Ἀταλάντῃ τὸ δέρμα ἔδωκεν. Ἕκαστος δὲ τῶν τῆς Ἀλθαίας ἀδελφῶν ἐβούλετο τῷ ἑαυτοῦ γυναικα λαβεῖν αὐτό. ἀφείλοντο οὖν τὸ δέρμα . Ὀργισθεὶς δὴ ὁ μὲν Μελέαγρος ἐπὶ τούτοις ἀπέκτεινεν ἀμφοτέρους. Λυπηθεῖσα δὲ ἡ Ἀλθαία ἐπὶ τοῖς τῶν ἀδελφῶν θανάτοις ἧψε τὸν δαλὸν καὶ ὁ Μελέαγρος εὐθὺς ἀπέθανεν.

58. WONDERFUL BOYS, THESE!

Λέγεται ὁ Ποσειδῶν γεννῆσαι παῖδας δύο ὧν ἡ φύσις θαυμασία ἦν· ηὐξάνοντο γὰρ καθ᾽ ἕκαστον ἔτος, εἰς μὲν εὖρος δύο ποδῶν, εἰς δὲ ὕψος ἕξ. Ἐπεὶ δὲ ἐγένοντο ἐννέα ἐτῶν διενοοῦντο μάχεσθαι τοῖς θεοῖς. Ἐπιθέντες οὖν Ὀλύμπῳ ἕτερόν τι ὄρος ὀνόματι Ὄσσαν, καὶ τρίτον αὖ ἐκείνῳ ἐπιβαλόντες, τὸ Πήλιον, ἔμελλον διὰ τούτων τῶν ὀρῶν εἰς τὸν οὐρανὸν ἀναβήσεσθαι. Ἰδόντες δὲ οἱα ἐκεῖνοι ἐποίουν οἱ θεοὶ εἰκότως ἐταράσσοντο. Τέλος δὲ ἡ Ἄρτεμις ἀπέκτεινεν ἀμφοτέρους δι᾽ ἀπάτης· ἀλλάξασα γὰρ τὸ ἑαυτῆς εἶδος εἰς ἔλαφον, ἀπροσδοκήτως διὰ μέσου αὐτῶν ἐπήδησεν. Οἱ δὲ ταχέως ἐστοχάζοντο τοῦ θηρίου ἵνα αὐτὸ διαφθαρῇ· ἀλλ᾽ ἁμαρτόντες τοῦ σκοποῦ ἀλλήλους κατετόξευσαν.

59. I. PONOS ENTERTAINS A GOD.

Πόνος μὲν ἦν ποτε, ὡς λέγεται, γεωργὸς πένης μέν, ἀγαθὸς δὲ καὶ εὐγνώμων. Ὁ δὲ θεὸς Ἑρμῆς ἔτυχε τότε πορείαν δι᾽ Ἑλλάδος ποιούμενος· πεῖνῶν δὲ ἐν τῇ ὁδῷ ἦλθε πρὸς τὴν τοῦ Πόνου οἰκίαν, μικρὰν οὖσαν καὶ κακήν, καὶ ᾔτησε σῖτον. Ὁ δὲ ξένον ἐδέξατο φιλανθρώπως, καὶ σιτία ἔδωκεν οἷα παρ᾽ ἑαυτῷ εἶχεν. Ἡσθεὶς οὖν ὁ Ἑρμῆς ὑπέσχετο δώσειν τῷ ἀνθρώπῳ ὅ τι ἂν ἐκεῖνος βούληται. Ὁ δὲ γεωργός, “Ὦ κύριε,’ ἔφη, ‘ὁρᾷς ἐκεῖνο τὸ δένδρον, τὸ τὰ μῆλα φέρον. Βούλομαι οὖν ἀνάγκην εἶναι πᾶσιν ὅσοι ἂν εἰς αὐτὸ ἀναβαίνωσι, μένειν ἐκεῖ ἕως ἂν κελεύσω ἐγὼ αὐτοὺς καταβαίνειν.’

60. II. BY HERMES' GIFT HE BEFOOLS DEATH.

Πόνος μὲν μετὰ ταῦτα πρεσβύτης ἐγένετο καὶ ἔδει αὐτὸν ἤδη τελευτᾶν. Καὶ ἦλθεν ὁ Θάνατος εἰς τὴν ἐκείνου καλύβην καὶ ἐκέλευσε τὸν γέροντα μεθ᾽ ἑαυτοῦ εὐθὺς ἀπιέναι. Ὁ δὲ ἔφη ἕτοιμος εἶναι, ἀλλὰ βούλεσθαι ἐν τῷ μεταξὺ δὲ μόνον μῆλον ἀπὸ τοῦ πρὸ

τῆς οἰκίας δένδρου ἐσθίειν, ἔπειτα δὲ εὐέσεσθαι. Ἐπὶ τούτοις οὖν ὁ Θάνατος ὠμολόγει. Ἀφικόμενος δὲ πρὸς τὸ δένδρον ὁ γέρων ἔφη, ‘Ὦ φίλε Θάνατε, ὁρᾷς ὅτι τὸ μὲν δένδρον ὑψηλόν ἐστιν, ἐγὼ δὲ γέρων εἰμὶ καὶ ἀσθενής. Πρὸς ταῦτα οὖν δέομαί σου εἰς αὐτὸ ἀναβαίνειν καὶ ἐμοὶ τοῦ μῆλον κομίζειν· ἔπειτα δὲ ἄπειμι ὡς κελεύεις.’

61. III. WHO HAS TO MAKE HIM IMMORTAL.

Τοσαῦτα οὖν ὁ μὲν γέρων ᾔτησε. Γελάσας δὲ ὁ Θάνατος καὶ εἰς τὸ δένδρον ἀναβὰς, μῆλα κατέβαλεν. Ὁ δὲ γέρων λαβὼν αὐτὰ ἤρχετο ἐσθίων. Ὁ δὲ Θάνατος ἔμελλε τότε καταβαίνειν ἐκ τοῦ δένδρου· οὐ μέντοι ἐδύνατο, ἀλλ᾽ ἐνείχετο ἐν αὐτῷ. Καὶ πολλὰ στρεφόμενος ὅμως προσκολλάμενος πρὸς τοὺς κλάδους ὥστε γελοῖοτάτων θέαμα εἶναι. Ὁ δὲ Πόνος, ‘Ὦ Θάνατε,’ ἔφη, ‘δεῖ σε ἐκεῖ μένειν ἕως ἂν δόξῃ μοι σε ἀπολύειν. Εἰ δὲ βούλει καταβαίνειν κελεύσω σε ἀθάνατον ἐμὲ ποιεῖν.’ Τέλος οὖν ἀποκαμὼν ἐκεῖνος ἐποίησε ταῦτα καὶ ἀπῆλθεν. Ὁ δὲ Πόνος διὰ ταῦτα ἀθάνατος ἐν ἀνθρώποις ἐστίν.

62. I. A HUNGRY BEAR MEETS A CRAFTY FOX.

Λέγουσι τινες τῶν παλαιῶν μυθολόγων ὡς ἄρκτος ποτὲ ἐν χειμῶνι ὥρᾳ ἠπόρει διὰ τὸ δεῖσθαι τροφῆς. Τότε δὲ ἀλώπεκι κατὰ τύχην ἐπιτυχοῦσα ἐβούλετο ταύτην ἁρπάσασα καταφαγεῖν. Ἡ δὲ ἀλώπηξ φοβηθεῖσα ἐκέλευσε, τοῦτο μὲν μὴ ποιεῖν, ἀκοῦσαι δὲ μᾶλλον ἃ αὐτῇ διδάξει. ‘Ἦν γάρ,’ ἔφη, ‘ὥσπερ ἐν νῷ νῦν ἔχεις, ἐμὲ καταφάγῃς, εὑρήσεις τὸ βρῶμα οὐ πάνυ ἡδὺ ὄν. Ἦν δὲ τάδε ποιῇς ἃ ἐν τῷ παρόντι ἔχω εἰπεῖν, ἀπολαύσει αὖτικα ἡδίστου δείπνου.’ Ἡ μὲν οὖν ἄρκτος ἐπὶ τούτοις ὡμολόγει. Ἡ δὲ ἀλώπηξ ἔφη δεῖν ἐκείνην καταβαίνειν πρὸς τὸν ποταμόν, καί, διαρρήξασάν τι τοῦ κρυστάλλου, τὴν οὐρὰν καθιέναι·

63. II. BY WHOSE ADVICE HE LOSES HIS TAIL.

‘Οἳ γὰρ ἰχθύες,’ ἔφη, ‘ἐλθόντες ἕξονται τῆς οὐρᾶς· σὺ δὲ δυνήσει αὐτοὺς ἀνέλκειν ὅταν βούλῃ· μὴ δέ τι δακνύωσιν, οὐ δεῖ σε ταραχθῆναι, ἐπειδὰν δὲ πολλοὺς ἰχθῦς ἕχῃς, τότε δὴ ἀνέλκειν πάντας.’ ἡσθεῖσα οὖν ἐπὶ τῷ βουλεύματι ἡ ἄρκτος ἀπέλυσε τε τὴν ἀλώπεκα καὶ τὰ ἄλλα ἐποίησεν ὅσα ἐκείνη ἐκέλευσεν. Οὐ δὴ οὖν ἰχθύες τῇ οὐρᾷ προσῆλθον· ὁ δὲ κρύσταλλος περιπαγημένος ἔπιεζεν αὐτήν. Ἡ δὲ ἄρκτος οὐκ ἐταράχθη οἰομένη τοὺς ἰχθῦς ταῦτα ποιεῖν. Βουλομένη δὲ τὴν οὐρὰν ἀποσπᾶν, οὐκ ἐδύνατο· ἀλλὰ πειρωμένη τοῦτο ποιεῖν ἀπέρρηξεν αὐτήν. Καὶ διὰ ταῦτα αἱ ἄρκτοι βραχείας

νῦν τὰς οὐρὰς ἔχουσιν.

64. I. FOND OF THE FINE ARTS.

Στρατηγός τις ἄλλως τε ἦν φιλόκαλος καὶ περὶ τοῦ ζωγραφημάτος μάλιστα ἐσπούδαζεν. Ὁπότε οὖν πόλιν τινὰ τῶν πολεμίων πολιορκήσας ἕλοι, εἰσῄει οὐ μόνον εἰς οἰκίας ἰδιωτῶν ἀλλὰ καὶ εἰς ἄδυτα καὶ νεὼς ζητῶν τὰς καλλίστας τῶν ἐιππυσῶν γραφῶν. Ὅσας δὲ εὕροι εὐθὺς εἰς τὴν ἑαυτοῦ οἰκίαν ἀπέπεμπεν. Ἐστιῶν δὲ ποτε παρ᾽ ἑαυτῷ ξένον τινὰ ἐδείξεν αὐτῷ τὴν οἰκίαν πᾶσαν. Ἦν γὰρ ἄξιοθέατος. Εἰσελθὼν οὖν ὁ ξένος εἰς τὸ οἴκημα εἶδε γραφὰς πολλὰς κρεμαμένας. Καλαὶ μὲν οὖν ἦσαν καὶ αἱ ἄλλαι· μία δὲ διαφερόντως λαμπρά, ὥστε οὐ ῥᾴδιον γε ἦν αὐτὴν ἱκανῶς ἐπαινεῖν.

65. II. FOR WHICH HE SAVES ANOTHER MAN'S LIFE.

Ὁ μὲν οὖν ξένος ἡσθεὶς εἶπεν, ‘Ὦ μακάριε σὺ τῆς τύχης, ὃς τὰ τοιαῦτα τεχνήματα ἐνὶ οἰκίᾳ ἔχεις.’ Ὁ δὲ στρατηγὸς γελάσας, ‘Ναί,’ ἔφη, ‘καὶ ἐγώ γε τήνδε τὴν γραφὴν ὁρῶν μάλιστα ἥδομαι· διὰ γὰρ ταύτην ἄνδρα γενναῖον ἐκ θανάτου ποτὲ ἔσωσα.’ Ὁ μὲν οὖν ξένος ἐθαύμαζεν ἀκούσας ταῦτα. Ὁ δὲ στρατηγός, ‘Ἀληθῆ,’ ἔφη, ‘λέγω· πυθόμενος γὰρ ταύτην τὴν γραφὴν ἐν νεῴ τινι ἐν-οῦσαν, εὑρεῖν οὐκ ἐδυνάμην. Ἠπείλησα οὖν ἀνασταυρῶσαι τὸν τοῦ νεὼ φύλακα, ἢν μὴ τὴν γραφὴν ἀποδεικνύῃ.’ Φοβηθεὶς οὖν ἐκεῖνος ἐποίησε τὸ κελευόμενον, καὶ τὴν γραφὴν ἀποδοὺς διὰ ταύτην ἐκ θανάτου ἐσώθη.’

66. DORIAS, THE PATRIOT.

Ἐπεὶ ὁ Δωρίας νομοθέτης ἐγένετο, ὑπ᾽ ἐχθρῶν τινων πολλάκις ἐπεβουλεύθη. Δείσαντες οὖν οἱ πολῖται μὴ ἀρίστου ἄρχοντος στερίσκωνται, ἐν νῷ εἶχον πύργον ἐν μέσῃ τῇ πόλει οἰκοδομεῖν ἵνα ἀσφαλεστέραν ἐκεῖνος τὴν οἴκησιν ἔχοι. Πυθόμενος δὲ ὁ Δωρίας ταῦτα οὐκ ᾔνελ. Ἀλλὰ κατελθὼν εἰς τὸ βουλευτήριον ἔλεξε τοιάδε· ‘Ὦ ἄνδρες, τί ποτε ποιεῖτε; δοκεῖτε γὰρ μοι ἐκεῖνα συμβουλεύοντες περὶ τῆς ἐμῆς ἀσφαλείας φροντίζειν μᾶλλον ἢ περὶ τῆς ὑμετέρας ἐλευθερίας· εὖ γὰρ ἴστε ὅτι ἢν ἐκείνων τὸν πύργον οἰκοδομήτε, κατασχὼν ποτε αὐτόν τις τὴν πόλιν ῥᾳδίως δουλώσει. Κελεύω οὖν ὑμᾶς μηδαμῶς ταῦτα ποιεῖν, μὴ σῴζοντές με τὴν πόλιν διαφθείρητε.’

67. I. SOLON AND THALES SPEAK OF FAMILIES.

Σόλων ποτὲ καὶ Θαλῆς διελέγοντο περὶ εὐδαιμονίας. Ἔφη οὖν ὁ Θαλῆς βέλτιον εἶναι μὴ γαμεῖν, μηδὲ παῖδας ἔχειν. Βουλόμενος δὲ καὶ Σόλων τοῦτο πεῖθειν, τοιάδε ἐμηχανήσατο. Ἄνθρωπον τινὰ παρεσκεύασεν ὃς φήσει ξένος ὢν ἐξ Ἀθηνῶν ἀρτίως ἀφικέσθαι. Πυθανόμενος δὲ τοῦ Σόλωνος περὶ τῶν ἐκεῖ, ὁ ἄνθρωπος δεδιδαγμένος ἃ χρὴ λέγειν, ‘Οὐδὲν κακόν,’ ἔφη, ‘πλὴν ὅτι ἐκφορὰ τῷ νεανίσκῳ τινός.’ Ἦν δὲ, ὡς ἐλέγετο, υἱὸς εὐδόξου πολίτου· ὁ δὲ πατὴρ αὐτοῦ οὐ παρῆν, ἀλλὰ πάλαι ἀπ-εδήμει. ‘Ὢ δυσυχὴς ἐκεῖνος,’ ἔφη ὁ Σόλων· ‘τίνα οἱ πολῖται ὠνόμαζον αὐτόν;’ Ὁ δὲ ἄνθρωπος, ‘Ἤκουσα,’ ἔφη, ‘τὸ ὄνομα, ἀλλ᾽ οὐ μνημονεύω.’

68. II. AN UNKIND ARGUMENT, IF TRUE.

Τοσαῦτα οὖν εἰρηκότος, φόβος τὸν Σόλωνα ἔσχε μὴ ὁ ἑαυτοῦ παῖς εἴη. Βραχὺ τι οὖν σιωτήσας ἐπηρώτα τὸν ἄνθρωπον εἰ ὁ πατὴρ ὠνομάζετο Σόλων. Καὶ ἐκεῖνος ἀντεῖπεν εὐθύς, ‘Ἀληθῶς, ὦ ξένε, δοκεῖς μοι μάντις τις εἶναι· αὐτὸ γὰρ τόδε, ὅπερ εἴρηκας, τὸ ὄνομα ἦν ᾧ γε αὐτοῦ ἐπελαθόμην.’ Ὁ μὲν οὖν Σόλων ἀκούσας ταῦτα ἐδάκρυσέ τε καὶ τὴν κεφαλὴν ἔπαισε. Γελάσας δὲ αὐτίκα ὁ Θαλῆς, ‘Θάρρει,’ ἔφη, ‘ὦ φίλτατε· οὐ γὰρ ἀληθεῖς εἰσιν οὗτοι οἱ λόγοι· ἀλλὰ νῦν οἶμαι καὶ σὺ ὁμολογήσεις ἄμεινον εἶναι μὴ παῖδας ἔχειν· δῆλοι γάρ εἰσιν οἳ ἄπαιδες πολλῶν κακῶν ἄπειροι ὄντες.’

69. I. HERMES VISITS DIVES' HOUSE IN DISGUISE.

Περὶ μὲν οὖν τῶν θεῶν οἳ παλαιοὶ ῥαψῳδοὶ πολλοὺς καὶ ἡδεῖς λόγους διηγοῦντο. Ἔλεγον γὰρ ὡς ἐπὶ γῆς φαίνονται πολλάκις, οὐ μέντοι θεῶν ἔχοντες τὸ εἶδος, ἀλλ᾽ εἰς τὰς τῶν ἀνθρώπων μορφὰς ἑαυτοὺς μεταλλάξαντες.

Τούτων δὲ τῶν μύθων εἷς τις ἐστὶ περὶ τοῦ Ἑρμοῦ, ὡς, πορείαν ποτὲ ποιούμενος ἐν τῇ βαρβάρῳ, διὰ τὸ μῆκος τῆς ὁδοῦ ἐκάμεν. Ἐβούλετο οὖν ἀναπαύεσθαι παρὰ πλουσίῳ τινὶ ἀνθρώπῳ, ὅπερ ἡ οἰκία ἔτυχε τῆς ὁδοῦ ἐγγὺς οὖσα. Ὁ δέ, ὡς γλίσχρος ὢν καὶ ἀγνώμων, τὸν ξένον ἀπώθει· οὐ γὰρ ἔγνω αὐτὸν θεὸν ὄντα. Ἀγανακτήσας οὖν ὁ Ἑρμῆς ἀπῄει.

70. II. AND THEN STOPS AT THAT OF A POOR MAN.

Προβὰς δὲ ἐντεῦθεν ὀλίγον ὁ θεὸς εἶδε καλύβην πένητος οὐ πόρρω ἀπούσαν. Ταύτῃ οὖν προσελθὼν τὴν θύραν ἔκρουε καὶ ἠρώτησε τὸν δεσπότην εἰ ἔξεστιν ἐκεῖ ἀναπαύεσθαι. ‘Προσελθὼν γάρ,’ ἔφη, ‘πρὸς ἐκείνην τὴν οἰκίαν τὴν καλὴν καὶ μεγάλην, καὶ δεηθεὶς ταῦτα παρὰ

τῶν ἐν αὐτῇ, ξενίσεως οὐκ ἔτυχον. Ὥστε ἐκεῖθεν ἀπεωσμένος ἐνθάδε ἀφικόμαι· οἶδα γὰρ πένητας πολλοὺς ἐλευθερωτέρους ὄντας τῶν πλουσίων. Ἐλπίζω δὲ καὶ ταχέως τοιούτου φανήσεσθαι.’

71. III. WHO SELECTS TWO OF THREE BLESSINGS OFFERED.

Ἀκούσας δὲ ταῦτα ὁ πένης φιλοφρόνως τὸν ξένον ἐδέξατο, δείπνου τε αὐτῷ καὶ κλίνην παρέχων, καὶ εἰσελθὼν εἰς τὴν καλύβην τὴν νύκτα ἐκεῖ διήγεν ὁ θεός.

Ἐπεὶδη ἡμέρα ἐγένετο, ἔμελλεν ὁ Ἑρμῆς ἀπιέναι. Καλέσας δὲ τὸν δεσπότην ἔφη θεὸς εἶναι. ‘Καὶ βουλόμενος αὐτῷ ἀμοιβήν τινα τίνειν, δῶρα,’ ἔφη, ‘τρία σοι δώσω ἃ ἂν αὐτὸς κελεύσῃς. Εἰπὲ οὖν μοι τίνων μάλιστα ἐπιθυμεῖς.’ Ὁ δὲ πένης ἀντεῖπε πρὸς ταῦτα. ‘Ὦ μέγιστε θεῶν, δύο μὲν τῶν δώρων ὧν κτήσασθαι βούλομαι, αὖτικα σοι εἰπεῖν ἔχω· περὶ δὲ τοῦ τρίτου ἀπορῶ. Τὸ μὲν οὖν πρῶτον ἔστι τοῦτο· βούλομαι ὅταν τελευτήσω, ἐλθὼν εἰς τὸ Ἠλύσιον μακάριος εἶναι. Τὸ δὲ δεύτερον, εὖ πάσχειν ἐν τῷ παρόντι βίῳ. Τὸ δὲ τρίτον, οὐκ οἶδα τί χρὴ ἐπαιντεῖν.’

72. IV. WHILE HERMES ADDS THE THIRD.

Ἀκούσας δὲ ὁ θεός, ‘Βούλει οὖν,’ ἔφη, ‘δῶ σοι οἰκίαν νέαν καὶ καλὴν ἀντὶ τῆσδε τῆς καλύβης;’ Ὁ δὲ ἔφη βούλεσθαι. Ὁ δὲ Ἑρμῆς ‘ἔσται ἄρα ταῦτα εἴη· καὶ ἅμα ἔδειξεν αὐτῷ οἰκίαν λαμπρότητη ἐκεῖ ἑστῶσαν, ὅπου πρὸ τοῦ ἦν ἡ καλύβη. ὁ μὲν οὖν Ἑρμῆς τοσαῦτα εἰρηκὼς ἀπῆει. ὁ δὲ πένης εἰσελθὼν εἰς τὴν οἰκίαν τὸν λοιπὸν βίον μακαρίως διῆγεν.

73. V. DIVES REPENTS AND SENDS AFTER HERMES.

πυθόμενος δὲ τὰ γενόμενα ὁ πλούσιος ᾐθημεγ. ἐκέλευσεν οὖν τὴν γυναῖκα ταχέως θεῖν καὶ τὸν ξένον πείσασαν ἀπάγειν ἐάν πως δύνηται· ἔφη γὰρ βούλεσθαι καὶ αὐτὸς ἐκεῖνον ἑστιᾶν. ὁ δὲ Ἑρμῆς ἀκούσας ἃ ἡ γυνὴ λέγει, πρῶτον μὲν οὐκ ἐπείθετο, τέλος δὲ ἔφη εἰσιέναι. δειπνήσας μετὰ τῶν πλουσίων τρία δῶρα καὶ τούτοις ὑπέσχετο.

74. VI. WHOSE GIFTS ARE FOOLISHLY WASTED.

τότε δὲ στᾶσα ἡ γυνὴ καὶ βοῶσα ᾔτησε παρὰ τοῦ θεοῦ ἀλλάντα· 'ὁ γὰρ ἐμὸς ἀνήρ,' ἔφη, 'τὰ τοιαῦτα στέργει.' αὖτη οὖν ἀλλάντα δοὺς ὁ

θεός, 'ἐν μέν,' εἴφη, 'τῶν δώρων ἔχεις.' τότε δὲ ὀργισθεὶς ὁ ἄνθρωπος, 'ὦ γύναι,' ἔφη, 'βούλομαι τὸν ἀλλάντα τῇ σῇ ῥινὶ ἐμφύεσθαι.' ὁ δὲ θεὸς εὐθύς, 'ἔστω ταῦτα,' εἴφη, 'καὶ τῶν δώρων τὸ δεύτερον ἔχεις τόδε.' ἀλλ᾽ οὐδὰ ταῦτα ἐκείνῳ ἤρεσκεν· ἐφοβεῖτο γὰρ μὴ καταγέλαστος εἴη τὴν τοιαύτην γυναῖκα ἔχων. ἠναγκάσθη οὖν τὸ τρίτον δεῖσθαι τοῦ θεοῦ ἀφανίσαι αὖθις τὸν ἀλλάντα. τοῦτο δὲ ποιήσας ὁ Ἑρμῆς καὶ αὐτὸς ἠφανίστο.

75. I. DIOTIMUS SENDS A HARE TO HIS FRIEND.

Διότιμος ὁ Μεγαρεὺς προσμήσας πρὸ πάντων τὸν κατ᾽ ἀγροὺς βίον, γῃδίον ἐπρίατο καὶ διετέλει τρέφων ἐπ᾽ αὐτοῦ ἵππους καὶ κύνας, καὶ θηρεύων ἐν τοῖς ὄρεσι, καὶ τὰ τοιαῦτα πάντα πράσσων. ἦν δὲ αὐτῷ ἐν τῇ πόλει συγγενὴς ἄνθρωπος καὶ φίλος ὀνόματι Καλλικλῆς. αὐτῷ οὖν ἐβούλετο ὁ Διότιμος χαρίζεσθαι. καὶ λαβών ποτε πάγῃ λαγῶν διαφερόντως καλὸν ἐκέλευσέ τινα τῶν οἰκετῶν τοῦτον εἰς τὴν πόλιν κομίσαντα ἐν κίστῃ τῷ φίλῳ δοῦναι. διψήσας δὲ ὁ οἰκέτης ἐν τῇ ὁδῷ καὶ πανδοκείῳ τινὶ ἐπιτυχών, κατέθετο τὴν κίστην καὶ ἀνεπαύετο.

76. II. IN THE SERVANT'S JOURNEY IT BECOMES A CAT.

ἔτυχον δὲ πίνοντες τότε ἐν τῷ πανδοκείῳ ἀστεῖοί τινες ἄνθρωποι. καὶ αἰσθόμενοι τὸν οἰκέτην ἀγροικον ὄντα καὶ εὐήθη διενοοῦντο παίζειν πρὸς αὐτόν. προσελθόντες οὖν τινες τούτων πρὸς τὸν ἄνθρωπον ἐπυνθάνον τε μετ᾽ αὐτοῦ καὶ εἰς λόγους αὐτῷ ἀφίκοντο. ἄλλοι δέ τινες ἐν τῷ μεταξὺ τὴν κίστην λάθρᾳ ἀνοίξαντες τὸν μὲν λαγὸν ἐξαιροῦσιν, αἴλουρον δὲ ἐνθέντες εἰς αὐτὴν τὰ σήμαντρα αὖθις προσάπτουσιν. ὁ δὲ οἰκέτης οὐκ αἰσθόμενος ἃ ἐκεῖνοι ποιοῦσιν, ἐπυνθετε ἥσυχῇ καὶ τοῖς ξένοις διελέγετο. ἐπειδὴ δὲ ἔδοξεν ἑαυτῷ ἅλις τούτων ἔχειν ἀναλαβὼν αὖθις τὴν κίστην ἀπῆλθεν ἐκεῖθεν καὶ ταχέως ἀφίκετο εἰς τὴν πόλιν.

77. III. WHICH IS PRESENTED TO CALLICLES.

προσελθὼν οὖν ὁ οἰκέτης πρὸς τὴν τοῦ Καλλικλέους οἰκίαν ἔλεξε τοιάδε· 'ὦ κύριε, ἥκω σοι δῶρον φέρων παρὰ τοῦ ἐμοῦ δεσπότου Διοτίμου· τὸ δὲ δῶρόν ἐστι λαγός.' τοσαῦτα εἰρηκὼς ἀνέῳξε τὴν κίστην καὶ εὐθὺς ἡ αἴλουρος ἐξ αὐτῆς ἐξεπήδησεν. ἰδὼν δὲ τὴν αἴλουρον ὁ μὲν οἰκέτης εἰς ἀπορίαν πολλὴν ἔπεσε, γελάσας δὲ ὁ Καλλικλῆς, 'ὦ ἄνθρωπε,' ἔφη, 'δοκεῖς μοι ἢ μωρὸς εἶναι ἢ πανοῦργος· οὔτε γὰρ ἐκεῖνο τὸ ζῷον λαγός ἐστιν, οὔτε ὁ Διότιμος ἔπεμψέ σε φέροντά μοι τὸ τοιοῦτον δῶρον· οὐ γὰρ ᾧδε μαίνεται.'

ἐκέλευσεν οὖν τὸν ἄνθρωπον ἀναλαβόντα τὴν αἴλουρον ἀπιέναι εὐθὺς ἐκ τῆς οἰκίας.

78. IV. ARRIVED AT HOME, IT IS A HARE.

διενοεῖτο οὖν ὁ οἰκέτης οἴκαδε πάλιν ἀπιέναι. ἀναπαυσάμενος δὲ αὖθις ἐν τῷ πανδοκείῳ, τοῖς αὐτοῖς ἀστείοις αὖθις ἐπέτυχε καὶ τὸ πρᾶγμα διηγήσατο. οἱ δὲ ἀκούσαντες ἔλεγον ὅτι 'φιλεῖ τὰ τοιαῦτα γίγνεσθαι ἐν τῇ πόλει· ὁ γὰρ ἐκεῖ ἀὴρ δύναμίν τινα ἔχει τοιάνδε ὥστε λαγῶς ἀεὶ εἰς αἰλούρους μεταπλάσσειν.' διαλεγομένοι δὲ περὶ τούτων, λάθρᾳ αὐτοῦ αὖθις τὴν κίστην ἀποφέρουσι καὶ τὸν λαγὸν πάλιν ἐντιθέασιν ἐξελόντες τὴν αἴλουρον. ὁ δὲ οἰκέτης τούτων οὐδὲν ᾔσθησεν. ἀπῆλθεν οὖν ἐκ τοῦ πανδοκείου λαγῶν μὲν ἐν τῇ κίστῃ φέρων, οἰόμενος δὲ αὐτὸν αἴλουρον εἶναι. καὶ ἀσπασάμενος τοὺς ξένους οἴκαδε ἀπῆει.

79. V. HE WON'T TRY AGAIN.

ἀφικόμενος δὲ ἐκεῖσε, 'ὦ δέσποτα,' ἔφη, 'θαυμάσια ἐγὼ πέπονθα ἐν τῇ πόλει· ὁ γὰρ λαγῶς ὥσπερ ἔπεμψας οὐκέτι λαγῶς ἐστιν, ἀλλ᾽ αἴλουρος.' καὶ τὴν κίστην ἀνοίξας, 'ὦ Ζεῦ,' ἔφη, 'τί ὁρῶ; μεταπέπλασται γὰρ αὖθις, ὡς ἔοικεν, εἰς λαγῶν.' θαυμάσας οὖν ὁ δεσπότης, 'ὦ οὗτος,' ἔφη, 'οὐ παύσει φλυαρῶν; ἐμοί γε δοκεῖς πάντων ἀνθρώπων εἶναι ἀφρονέστατος. νῦν οὖν ἄπιθι πάλιν ὡς τάχιστα εἰς τὴν πόλιν καὶ τὸν λαγῶν τόνδε πρόσφερε τῷ Καλλικλεῖ, ὥσπερ σε καὶ τότε ἐκέλευσα.' ὁ δέ, 'ὦ δέσποτα,' ἔφη, 'μηδαμῶς ταῦτα κελεύσῃς· δέδοικα γὰρ μὴ γένωμαι καὶ αὐτὸς αἴλουρος, ἐὰν ἐκεῖσε πάλιν ἐπανίω.'

80. THE LAW COURTS OF ATHENS.

Σπαρτιάτης εἰς Ἀθήνας ἀφικόμενος εἰσῆλθεν εἰς τὰ δικαστήρια ἵνα ἀκούοι τῶν ῥητόρων λεγόντων. ἔφυγε δέ τότε τις γραφὴν ὕβρεως καὶ οἱ δικασταὶ ἤδη ἠθροίσθησαν. πρῶτον μὲν οὖν ὁ διώκων τὴν κατηγορίαν διηγήσατο, εὖ καὶ συνετῶς τοῦτο ποιῶν, ὥστε πείθειν σφόδρα τοὺς δικαστάς. ἔπειτα δὲ ἀναστὰς ῥήτωρ ἄλλος οὐχ ἧσσον σοφῶς ὑπὲρ τοῦ φεύγοντος εἶπεν, οἱ δὲ δικασταὶ πρὸς ταῦτα φανεροὶ ἦσαν τὴν γνώμην μεταβάλλοντες. τότε δὲ τρίτος τις πολλὰ ἔλεγεν ὑπὲρ τοῦ διώκοντος, δυνάμενος καὶ οὗτος παρὰ τοῖς δικασταῖς. ἀπορήσας οὖν ὁ Σπαρτιάτης ἀπῆει λέγων ὁμοίως πάντας ἀδικεῖν, τούς τε ἀντιδίκους καὶ τοὺς δικαστάς.

81. THE STORY OF TELL.

σατράπης γερόμενος ὁ Γεσελὴρ εἰς τοσοῦτον ὕβρεως προῆλθεν ὥστε τιάραν ἐπὶ σκολοπος ἀνακρεμάσας ἐκέλευσε τοὺς παριόντας πάντας ταύτην προσκυνεῖν. οἱ μὲν οὖν ἄλλοι ταῦτα ἐποίουν· ἦν δὲ Τέλλος τις, τοξότης τῶν τότε ἀνθρώπων μακρῷ ἄριστος, καὶ δόξαν ἔχων ἐν τῇ πατρίδι ὡς συνετὸς ἀνὴρ ὢν καὶ ἅμα εὔτολμος. πυθόμενος ἄρα οὗτος οἷα ὁ σατράπης κελεύει, ἠγανάκτησε. παριὼν δὲ ποτε παρ᾽ ἐκεῖνον τὸν τόπον καὶ τὴν τιάραν ἰδών, οὐ μόνον αὐτὴν οὐ προσεκύνησεν, ἀλλὰ καὶ δύστηνε ἐπ᾽ αὐτὴν ἐφῆκεν ἀπὸ τοῦ τόξου. πρὸς ταῦτα οὖν ὀργισθεὶς ὁ Γεσελὴρ ἐκέλευσε τοὺς δορυφόρους συλλαβεῖν ἐκεῖνον ἐπὶ θανάτῳ.

ὁ μὲν οὖν Τέλλος συλληφθεὶς ὑπὸ τῶν δορυφόρων οὐδ᾽ ὁτιοῦν ἐταράχθη. ἰδὼν δὲ αὐτοῦ τὴν ἀφοβίαν ὁ Γεσελὴρ ἄλλο τι ἐμηχανήσατο ἐπ᾽ αὐτὸν τοιόνδε. μεταπεμψάμενος τὸν ἐκείνου υἱὸν παῖδα ὄντα ἐπὶ τῆς τούτου κεφαλῆς μῆλον ἐπέθηκε. ταῦτα δὲ ποιήσας ἐκέλευσε τὸν πατέρα τοξεύειν, σκοπῷ χρώμενον τῷ μήλῳ. εἰ δὲ μή, ἤπείλησεν αὐτίκα θανατώσειν ἀμφοτέρους, τόν τε Τέλλον καὶ τὸν παῖδα αὐτοῦ. ὁ δὲ Τέλλος πρὸς ταῦτα εἰκότως ἐβοήθη· ἐπικίνδυνον γὰρ τὸ πρᾶγμα ἦν, ἀλλ᾽ ὅμως ἔδει αὐτὸν ἐπιχειρεῖν. λαβὼν οὖν τὸ τόξον καὶ ὀιστοὺς δύο ἐκέλευσε τὸν παῖδα ἑστάναι ἐπὶ χωρίῳ τινί, καὶ συγκλείειν τοὺς ὀφθαλμοὺς καὶ ἀκινήτως ἔχειν ἕως ἂν αὐτὸς τὸ πρᾶγμα ἐπιτελέσῃ.

ἐποίει οὖν ὁ μὲν παῖς τὸ προσταχθέν, ὁ δὲ πατὴρ τῶν ὀιστῶν τὸν ἕτερον ἐκλέξας ἐσοχάζετο τοῦ μήλου. ὁ δὲ ὀιστὸς διέσχισε τὸ μῆλον, ἀλλ᾽ οὐ τὸν παῖδα ἔτρωσεν. οἱ δὲ περιεστῶτες πάντες ἐπεθορύβουν ὥστε ἠναγκάσθη ὁ Γεσελὴρ καίπερ ἀχθόμενος ἀμφοτέρους ἀπολῦσαι. ἀλλ᾽ οὐκ ἔλαθεν αὐτὸν ὁ Τέλλος ὀιστοὺς δύο λαβών. ἐπηρώτα οὖν τὸν ἄνθρωπον τί βουλόμενος ἐκεῖνο ἐποίησεν. ὁ δὲ Τέλλος βραχὺ μὲν σιγὴν εἶχεν· ἔπειτα δέ, 'διὰ σέ,' ἔφη, 'ἐκεῖνο ἐποίουν· εὖ γὰρ ἴσθι ὅτι εἰ τῷ ὀιστῷ τόδε τὸν παῖδα ἔτρωσα, ἀπέκτεινα ἂν καὶ σέ τῷ ἑτέρῳ.'

82. I. THE KING CONSULTS HIS WISE MEN.

βασιλεύς τις ἀστεῖος συγκαλέσας σοφιστὰς πολλοὺς ἀπορίαν αὐτοῖς προύθηκε τοιάνδε· 'ὦ ἄνδρες σοφισταί,' ἔφη, 'ἀπορίαν ἔχω θαυμασίαν. βουλόμενος δὲ λύσιν αὐτῆς εὑρεῖν ἐνθάδε ὑμᾶς συγκέκληκα· τίς γὰρ ὑμῶν ἀγνοεῖ ὅτι ἐάν τις ἰδρῶν ἔχων ὕδατος πλήρη ἔπειτα ἐνθῇ εἰς αὐτὴν ἰχθὺν ζῶντα, τὸ ὕδωρ οὐδέποτε ὑπερβήσεται τὸ χεῖλος, ἀλλ᾽ ἐν τῇ ὑδρίᾳ ἀεὶ μενεῖ; τὴν δὲ αἰτίαν τούτων οὐδέπωποτε οὐδεὶς ηὕρηκεν. δεῖ οὖν ὑμᾶς, εἰ ἀληθῶς σοφοί ἐστε, ἀποδεῖξαι διὰ τί τάδε οὕτως ἔχει.' ταῦτα δὲ πᾶιν σεμνῶς λέξας ὁ βασιλεὺς ἀνύποπτος πάσιν ἦν. ἀπῆλθον οὖν εἰς τὴν ἑαυτοῦ οἰκίαν ἕκαστος, τὸ πρᾶγμα σκεψόμενοι.

83. II. A LUDICROUS END OF THEIR SPECULATIONS.

μετὰ δὲ ταῦτα οἱ σοφισταὶ πάντες πολλὰ μὲν περὶ ὕδατος ἀνεζήτουν, πολλὰ δὲ καὶ περὶ ἰχθύων. ἀλλ᾽ αὐτοῦ τοῦ πράγματος οὐδεὶς πεῖραν ἐποιεῖτο εἰ ἀληθῆ ὁ βασιλεὺς εἴρηκεν. οἱ μὲν οὖν ἐλογίσαντο ὡς τύχῃ ταῦτα γίγνεται, οἱ δὲ ὡς φυσικῇ τινι ἀνάγκῃ. καὶ βιβλία πολλὰ περὶ τούτων συνέγραψαν καὶ ἄλλα τοιαῦτα ἐπραγματεύοντο. τέλος δὲ ἀνακαλεσάμενος αὐτοὺς ὁ βασιλεὺς ἐρωτᾷ εἰ λύσιν τῆς ἀπορίας τις ηὗρηκεν. ἀκούσας δὲ ἃ ἕκαστος λέγει, 'ἐγὼ δέ γε,' φησίν, 'οἶμαι τὸ αἴτιον τῆς ἀπορίας οὐδὲν ἄλλο εἶναι ἢ τὴν ὑμετέραν ἀμαθίαν.' ἅμα δὲ εἰς ὑδρίαν ἰχθὺν ἐνθεὶς ἔδειξε πᾶσι τὸ ὕδωρ ὑπερβαῖνον.

84. I. THE WOUNDED ENEMIES.

ἐγένετό ποτε ἐν τῇ Σικελίᾳ μάχη τῶν Ἰβλαίων πρὸς τοὺς Ἰησσαίους. νικήσαντες δὲ οἱ Ἰησσαῖοι ἔτρεψάν τε τοὺς πολεμίους καὶ τροπαῖον ἔστησαν. στρατιώτης δέ τις Ἰησσαῖος δι᾽ ἡμέρας ὅλης μαχεσάμενος εἶτα ἐδώλησεν. εὑρὼν δὲ παρὰ νεκρῷ τινι ἀσκὸν οἴνου κείμενον ἤσθη τε καὶ πίεσθαι ἔμελλεν. τότε δὲ Ἰβλαίων ἕνα κείμενον κατιδών, ὃς ἐν τῇ μάχῃ τραυματισθεὶς μόλις ἤδη ἀνεβιώσκετο, τούτῳ τὸν οἶνον ἔλεγε ἔδοιδον. ἐκεῖνος δέ, ἐτυχε γὰρ ἄγνωμον ὢν καὶ ἀχάριστος, σπασάμενος λάθρᾳ ἐγχειρίδιον ὅπερ εἶχεν ὑπὸ μάλης, τὸν εὐεργέτην παίσειν ἔμελλεν. αἰσθόμενος δὲ ὁ Ἰησσαῖος ἀνεπήδησεν εὐθύς, καὶ τὸ ἐγχειρίδιον ἐκ τῶν ἐκείνου χειρῶν ἐξέκρουσεν.

85. II. HEAPING COALS OF FIRE.

ὁ μὲν οὖν Ἰβλαῖος ἔκειτο θανάτου προσδοκῶν· στὰς δὲ ὑπὲρ αὐτοῦ ὁ Ἰησσαῖος σπασάμενος τὸ ξίφος τιμωρίαν λήψεσθαι ἔμελλεν. ἰδὼν δὲ τὸν ἄνθρωπον δεινῶς τετραυματισμένον καὶ οὐκέτι οἷόν τε ὄντα ἀμύνεσθαι, μετεστράφη τε ἀπ᾽ αὐτοῦ καὶ ἄλλο μὲν οὐδὲν ἐποίησε, τοῦ δὲ οἴνου ἔπιε τὸ ἥμισυ. ἔπειτα δὲ τῷ τραυματισθέντι αὖθις ἐπελθὼν τοιάδε ἔλεξεν· 'ὦ δαιμόνιε, εἰ μὲν φιλικῶς τόδε τὸ δῶρον ἐδεξω, ἔδωκα ἄν σοι τὸν ἀσκὸν ὅλον. νῦν δὲ ἐπειδὴ οὐ θέλεις ὑπ᾽ ἐμοῦ εὐεργετεῖσθαι, ἀλίς σοι ἔσται τὸ ἥμισυ. τοσαῦτα δὲ εἰρηκὼς καὶ τὸ ξίφος κρυψάμενος, τὸν λοιπὸν τοῦ οἴνου τῷ Ἰβλαίῳ ἔδωκεν.

THE BATTLE OF MARATHON. B.C. 490.

86. I. IONIAN REVOLT. BURNING OF SARDIS.

οἱ δ᾽ Ἴωνες, Ἕλληνες μὲν ὄντες, κραταηθέντες δὲ ὑπὸ Κύρου πάλαι ἐγίγνοντο ὑποχείριοι τοῖς Πέρσαις. τέλος δὲ ἀποστάντες ἔδεοντο Ἀθηναίων βοηθεῖν αὐτοῖς κατὰ τὴν συγγένειαν. οἱ μὲν δὴ Ἀθηναῖοι ἀναπεισθέντες ἀπέστειλαν εἴκοσι ναῦς, Ἐρετριεῖς δέ, καὶ αὐτοὶ φίλοι ὄντες Μιλησίων, προσέθεσαν ἄλλας πέντε τριήρεις. αὗται δὴ αἱ νῆες ἐγένοντο ἀρχὴ κακῶν Ἕλλησί τε καὶ βαρβάροις· ἐπεὶ γὰρ καὶ ἄλλοι σύμμαχοι παρῆσαν οἱ σύμπαντες ἔπλεον εἰς Ἔφεσον. ἀφικόμενοι δὲ ἐξέβησάν τε καὶ ἀνέβαινον ἐπὶ Σάρδεις· καὶ ἑλόντες τὴν πόλιν ἐνέπρησαν.

87. II. ANGER OF DARIUS.

ἀκούσας δὲ Δαρεῖος, ὁ τότε τῶν Περσῶν βασιλεύς, χαλεπῶς εἶχε. καὶ εὐθὺς λαβών τε τὸ τόξον καὶ ἐπιθεὶς ὀιστὸν ἀφῆκεν εἰς τὸν ἀέρα. ἀφιεὶς δέ, 'ὦ Ζεῦ,' ἔφη, 'δός μοι τίσασθαι Ἀθηναίους.' καὶ δὴ καὶ προσέταξέ τινι τῶν θεραπόντων ἀεὶ ἀναμιμνῄσκειν αὐτὸν περὶ ταῦτα. ὁ δὲ θεράπων καθ᾽ ἡμέραν δεῖπνον προκειμένου εἰς τρὶς ἐκήρυττε τόδε· 'δέσποτα, μέμνησο τῶν Ἀθηναίων.'

88. III. INSTIGATIONS OF HIPPIAS. PERSIAN THREAT.

παρὴν δὲ καὶ Ἱππίας πρὸς αὐτὸν διαβάλλων τοὺς Ἀθηναίους. οὗτος δὲ ὁ Ἱππίας, Πεισιστράτου υἱὸς ὤν, πρότερον ἐτυράννευε τῶν Ἀθηναίων· ἐκπεσὼν δὲ ἀνῆει τε εἰς Σοῦσα καὶ διέβαλλε τοὺς Ἀθηναίους· διὰ ταῦτα δὲ καὶ πρέσβεις τότε ἔτυχον παρόντες, πεμφθέντες τε ἐξ Ἀθηνῶν καὶ οὐκ ἐῶντες τοὺς Πέρσας πείθεσθαι Ἀθηναίων τοῖς φυγάσι· οἱ δὲ Πέρσαι ἐκέλευσαν τάδε· 'εἰ βούλεσθε μὴ ἀπολέσθαι καταδέχεσθε τὸν Ἱππίαν.' τούτῳ δὴ τῷ λόγῳ ὀργισθέντες οἱ Ἀθηναῖοι σύμμαχοι ἐγένοντο τοῖς Ἴωσιν, ὡς πρότερον εἴρηται.

89. IV. THE KING DETERMINES TO ENSLAVE ERETRIA AND ATHENS.

Ἰώνων δὲ κρατηθέντων ναυμαχίᾳ περὶ Λάδην, τότε δὴ βασιλεὺς ὑπὸ τοῦ τε θεράποντος καὶ τοῦ Ἱππίου παροξυνθείς, ἅμα καὶ αὐτὸς ἐπεθύμει καταστρέφεσθαι ἑαυτῷ τὴν πᾶσαν Ἑλλάδα. πολλὰ δ᾽ ἔτη πολλὴν παρασκευὴν συναγείρας, ὁ Δαρεῖος δύο στρατηγῷ ἀποδείξας ἀπέστειλεν ἐπ᾽ Ἐρέτριάν τε καὶ Ἀθήνας· τῷ δὲ στρατηγῷ ἦστην Δατίς τε Μῆδος ὢν γένος καὶ Ἀρταφέρνης ἀδελφιδοῦς βασιλέως.

90. V. ERETRIA IS CRUSHED.

ἀπέπεμπε δὲ ἐντειλάμενος ἀνδραποδίσαντας Ἀθήνας τε καὶ Ἐρέτριαν ἄγειν πρὸς ἑαυτὸν τὰ ἀνδράποδα. οὕτω δὴ ὁ στρατὸς ἐκ Σάμου ἀπάρας ἐποιεῖτο τὸν πλοῦν διὰ νήσων. διαβάντες δὲ τὸ πέλαγος τὴν μὲν Ἐρέτριαν ἐχειρώσαντο καὶ τοὺς ἀνθρώπους ἐξηνδραποδίσαντο κατὰ τὰ ἐντεταλμένα. ταῦτα δὲ ποιήσαντες ἔπλεον εἰς τὴν Ἀττικὴν δοκοῦντες ταῦτα τοὺς Ἀθηναίους ποιήσειν ἅπερ καὶ τοὺς Ἐρετριέας ἐποίησαν.

91. VI. THE PERSIANS LAND AT MARATHON.

καὶ (ἦν γὰρ ὁ Μαραθὼν ἐπιτηδειότατον χωρίων τῆς Ἀττικῆς ἐνιππεῦσαι καὶ ἐγγυτάτω τῆς Ἐρετρίας) εἰς τοῦτο δὴ καθηγεῖτο αὐτοῖς Ἱππίας ὁ Πεισιστράτου. καὶ τὰς μὲν ναῦς εἰς Μαραθῶνα καταχθείσας ὥρμιζε, τοὺς δὲ βαρβάρους ἐξεβίβασέ τε καὶ διέτασσεν. Ἀθηναῖοι δέ, ὡς ἐπύθοντο ταῦτα, ἐβοήθουν καὶ αὐτοὶ εἰς Μαραθῶνα· ἦγον δὲ αὐτοὺς στρατηγοὶ δέκα ὧν ὁ δέκατος ἦν Μιλτιάδης.

92. VII. HISTORY OF MILTIADES.

ἦν δὲ ὁ Μιλτιάδης υἱὸς τοῦ Κίμωνος τοῦ ὑπὸ τῶν Πεισιστράτου παίδων ἀποθανόντος· οὗτοι γὰρ ἀπέκτειναν αὐτὸν κατὰ τὸ πρυτανεῖον νυκτὸς ὑποπέμψαντες ἄνδρας. τοῦτο δὲ ἐποίησαν διὰ φιλονεικίαν ὅτι ὁ Κίμων τρὶς Ὀλύμπια τεθρίππῳ ἐνίκησε. τούτου δὴ ὢν υἱὸς ὁ Μιλτιάδης ἦκεν ἐκ τῆς Χερσονήσου διπλοῦν θάνατον ἐκπεφευγώς· ἀποπλέοντα μὲν γὰρ οἱ Φοίνικες οἱ τοῦ ναυτικοῦ τοῦ βασιλέως ἐπεδίωξαν μέχρι Ἴμβρου, σφόδρα ἐπιθυμοῦντες λαβεῖν τε καὶ ἀναγαγεῖν παρὰ βασιλέα· ἐκφυγὼν δὲ τούτους καὶ ἀφικόμενος εἰς τὴν ἑαυτοῦ πατρίδα ἐδόκει μὲν εἶναι ἐν σωτηρίᾳ· τότε δὲ οἱ ἐχθροὶ ὑπὸ δικαστήριον αὐτὸν ἀγαγόντες ἐδίωξαν τυραννίδος τῆς ἐν Χερσονήσῳ. ἀποφυγὼν δὲ καὶ τούτους στρατηγὸς οὕτως Ἀθηναίων ἀπεδείχθη αἱρεθεὶς ὑπὸ τοῦ δήμου.

93. VIII. THE ATHENIANS APPEAL TO SPARTA.

ἔτι δὲ ὄντες ἐν τῷ ἄστει οἱ στρατηγοὶ ἀποπέμπουσιν εἰς Σπάρτην κήρυκα Φειδιππίδην, ἄνδρα ὡς δρομικώτατον. ὁ δὲ Φειδιππίδης δραμὼν ὡς τάχιστα ἀφίκετο εἰς Σπάρτην δευτεραῖος (ἀπέχει δ᾽ ἡ Σπάρτη τῶν Ἀθηνῶν σταδίους μάλιστα χιλίους καὶ διακοσίους). ἀφικόμενος οὖν ἐπὶ τοὺς ἄρχοντας ἔλεγεν· 'ὦ Λακεδαιμόνιοι, Ἀθηναῖοι ὑμῶν δέονται σφίσι βοηθῆσαι καὶ μὴ περιιδεῖν πόλιν

ἀρχαιοτάτην τῶν Ἑλλήνων δουλωθῆναι ὑπ᾽ ἀνδρῶν βαρβάρων. καὶ γὰρ Ἐρέτριά τε ἤδη ἠνδραπόδισται καὶ ἡ Ἑλλὰς γέγονεν ἀσθενεστέρα μιᾷ πόλει, καὶ ταύτῃ οὐ μικρᾷ.'

94. IX. SUPERSTITION OF SPARTA.

ὁ μὲν δὴ ἀπήγγειλεν αὐτοῖς τὰ ἐντεταλμένα· αὐτοῖς δὲ ἐδόκει μὲν βοηθεῖν τοῖς Ἀθηναίοις· ἀδύνατα δ᾽ ἐνόμιζον τὸ παραυτίκα ποιεῖν ταῦτα, οὐ βουλόμενοι λύειν τὸν νόμον· ἦν γὰρ ἱσταμένου τοῦ μηνὸς ἡμέρα ἐνάτη. καὶ οὐκ ἔφασαν ἐξιέναι στρατεύεσθαι πρὶν ὁ κύκλος τῆς σελήνης πλήρης γένοιτο. οὗτοι μὲν οὖν τὴν πανσέληνον ἔμενον.

95. X. GALLANT CONDUCT OF PLATAEA.

Ἀθηναίοις δὲ τεταγμένοις ἐν τεμένει Ἡρακλέους, τῷ πρὸ Μαραθῶνος, ἐπῆλθον βοηθοῦντες οἱ Πλαταιεῖς πανδημεί. καὶ γὰρ πιεζόμενοί ποτε ὑπὸ Θηβαίων ἐδεδώκεσαν ἑαυτοὺς Ἀθηναίοις οἱ πολλάκις ἐπήρκεσαν αὐτοῖς· νῦν δὲ ἦκον εἰς Μαραθῶνα βοηθοῦντες Ἀθηναίοις μόνοι τῶν Ἑλλήνων.

96. XI. DIVIDED COUNSELS. THE COUNCIL OF WAR WILL NOT FIGHT.

τοῖς δὲ Ἀθηναίων στρατηγοῖς ἐγίγνοντο δίχα αἱ γνῶμαι· οἱ μὲν γὰρ οὐκ εἴων συνάπτειν τὴν μάχην· 'ὀλίγοι γὰρ ἡμεῖς ἐσμεν,' ἔφασαν, 'ἡ δὲ στρατιὰ τῶν Μήδων ἀναρίθμητος.' οἱ δὲ περὶ Μιλτιάδην ἐβούλοντο μάχεσθαι. ὡς δὲ δίχα ἐγένοντο, ἦλθεν ὁ Μιλτιάδης πρὸς Καλλίμαχον τὸν πολέμαρχον καὶ ἔλεγεν—

97. XII. MILTIADES APPEALS TO THE POLEMARCH.

'ἐν σοὶ νῦν, Καλλίμαχε, ἔστιν ἢ καταδουλώσαι Ἀθήνας ἢ ἐλευθέρας ποιήσαντι δόξαν καταλείπειν ἀθάνατον οἵαν οὐδὲ Ἁρμόδιός τε καὶ Ἀριστογείτων κατέλιπον· νῦν γὰρ Ἀθηναῖοι ἥκουσιν εἰς κίνδυνον μέγιστον δὴ τῶν πρίν. καὶ ἢν μὲν ὑπακούσωσι τοῖς Μήδοις πείσονται τὰ ἔσχατα παραδεδομένοι Ἱππίᾳ, ἢν δὲ αὖ περιγένωνται, πρῶτοι Ἑλλήνων ἔσονται. τοῦ τοιούτου καιροῦ παρόντος, ἡμεῖς οἱ δέκα στρατηγοὶ δίχα ψηφιζόμεθα, οἱ μὲν κελεύοντες μάχεσθαι, οἱ δὲ οὐκ ἐῶντες. καὶ ἢν μὲν νῦν μὴ μαχώμεθα, ἐλπίζω μεγάλην τινὰ στάσιν ἐμπεσοῦσαν ἐκπλήξειν τὰς γνώμας τῶν Ἀθηναίων ὥστε μηδίσαι· ἢν δ᾽ αὖ μαχώμεθα πρὶν προδότας τινὰς καταλαμβάνειν τὰ πράγματα τῶν Ἀθηναίων, σὺν θεοῖς νικήσομεν. ταῦτα οὖν πάντα ἐκ

σοῦ ἤρτηται· ἢν γὰρ σὺ τῇ ἐμῇ γνώμῃ προσθῇ, ἔσται σοι πατρίς τε ἐλευθέρα καὶ πόλις πρώτη τῶν ἐν Ἑλλάδι· ἢν δ᾽ αὖ τὴν τῶν ἑτέρων γνώμην ἕλῃ, ἔσται σοι τὰ ἐναντία τούτων τῶν ἀγαθῶν.'

98. XIII. HE AGREES TO FIGHT.

ταῦτα λέγων ὁ Μιλτιάδης τῇ ἑαυτοῦ γνώμῃ προσκτᾶται τὸν Καλλίμαχον· προσγενομένης δὲ τῆς τοῦ πολεμάρχου γνώμης, ἔδοξε συνάπτειν τὴν μάχην. μετὰ δὲ τοῦτο οἱ μάχεσθαι βουλόμενοι τῶν στρατηγῶν, ὡς ἑκάστου ἐγίγνετο ἡ ἡγεμονία τῆς ἡμέρας, παρεδίδοσαν Μιλτιάδῃ· ὁ δὲ ὅμως οὐ συνῆπτε τὴν μάχην πρὶν ἑαυτοῦ ἡ ἡγεμονία ἐγένετο.

99. XIV. THE ORDER OF BATTLE.

ὡς δὲ περιῆλθεν ἡ ἡμέρα ἐνταῦθα ἐτάσσοντο Ἀθηναῖοι ἐν τῷ Μαραθῶνι ὡς μαχούμενοι. καὶ τοῦ μὲν δεξιοῦ κέρως ἡγεῖτο Καλλίμαχος ὁ πολέμαρχος. καὶ αἱ μὲν φυλαὶ ἐτάσσοντο ἐχόμεναι ἀλλήλων· τελευταῖοι δὲ ἦσαν, ἔχοντες τὸ εὐώνυμον κέρας, οἱ Πλαταιεῖς. τότε δὲ τασσομένων τῶν Ἀθηναίων, ἐξισοῦτο οὕτω τὸ στρατόπεδον τῷ Μηδικῷ ὥστε τὸ μὲν μέσον ἐγίγνετο ἐπ᾽ ὀλίγων καὶ ταύτῃ ἀσθενέστατον ἦν τὸ στρατόπεδον· τὸ δὲ κέρας ἑκάτερον ἔρρωτο τῷ πλήθει.

100. XV. THE CHARGE.

ὡς δὲ ἦσαν διατεταγμένοι καὶ τὰ σφάγια ἐγίγνετο καλά, ἐνταῦθα οἱ Ἀθηναῖοι, ὡς ἀφείθησαν, δρόμῳ ἦσαν ἐπὶ τοὺς βαρβάρους. ἀπεῖχον δὲ οὐκ ἔλασσον ἢ ὀκτὼ σταδίους· οἱ δὲ Πέρσαι ὁρῶντες ταῦτά τε καὶ δρόμῳ ἐπιόντας παρεσκευάζοντο ὡς δεξόμενοι· ἐνόμιζον δὲ αὐτοὺς παραφρονεῖν καὶ ταχὺ ἀπολεῖσθαι ὁρῶντες ὀλίγους ὄντας καὶ τούτους δρόμῳ χωροῦντας, οὔθ᾽ ἱππέων ὑπαρχόντων αὐτοῖς οὔτε τοξευμάτων. ταῦτα μὲν οἱ βάρβαροι ἐνόμιζον· Ἀθηναῖοι δὲ ἀθρόοι τε προσέμιξαν τοῖς βαρβάροις καὶ ἐμάχοντο ἀξίως λόγου· πρῶτοι μὲν γὰρ Ἑλλήνων πάντων ὧν ἡμεῖς ἴσμεν δρόμῳ ἐχώρησαν ἐπὶ πολεμίους, πρῶτοι δὲ ἀνέσχοντο ἐσθῆτά τε Μηδικὴν ὁρῶντες καὶ τοὺς ἄνδρας τοὺς ταύτην ἡμφιεσμένους· πρότερον δὲ ἦν καὶ τὸ ὄνομα τῶν Μήδων φοβερὸν ἀκοῦσαι.

101. XVI. VICTORY OF WINGS. DEFEAT OF CENTER. FINAL VICTORY.

τούτων δὲ μαχομένων πολὺν χρόνον ἐν Μαραθῶνι, τὸ μὲν μέσον τοῦ στρατοπέδου ἐνίκων οἱ βάρβαροι· ἐνταῦθα μὲν γὰρ Πέρσαι τε αὐτοὶ καὶ Σάκαι ἦσαν τεταγμένοι, ἡ δὲ τάξις τῶν Ἀθηναίων ἀσθενεστάτη ἦν· τοῦτο μὲν δὴ τὸ μέρος ἐνίκων τε οἱ βάρβαροι καὶ ῥήξαντες ἐδίωκον εἰς τὴν μεσόγαιαν· τὸ δὲ κέρας ἑκάτερον ἐνίκων μὲν Ἀθηναῖοί τε καὶ Πλαταιεῖς, νικῶντες δὲ τοὺς μὲν τετραμμένους τῶν βαρβάρων φεύγειν εἴων· τοῖς δὲ τὸ αὐτῶν μέσον ῥήξασιν ἐμάχοντό τε καὶ συναγαγόντες ἀμφοτέρωθεν τὰ κέρα τοὺς νικῶντας ἐνίκων Ἀθηναῖοι. καὶ οὕτω φεύγουσι τοῖς Πέρσαις εἵποντο ὄπισθεν κατακόπτοντες ἀεὶ τοὺς ἄνδρας ἔστε καὶ ἐπὶ τὴν θάλασσαν ἀφίκοντο· ἐνταῦθα δὲ πῦρ τε ᾔτουν τοὺς ἀκολούθους καὶ ἐπελαμβάνοντο τῶν νεῶν.

102. XVII. FIGHT AT THE SHIPS.

ἐνταῦθα δὲ ἀπέθανον ὅ τε πολέμαρχος Καλλίμαχος, ἀνὴρ γενόμενος ἀγαθός, καὶ Στησίλαος τῶν στρατηγῶν· καὶ Κυναίγειρος ὁ Εὐφορίωνος ἐπιλαβόμενος τῆς πρύμνης νεὼς τινος ἀπεκόπη τε τὴν χεῖρα πελέκει καὶ ἔπεσεν· ἔπεσον δὲ ἄλλοι Ἀθηναίων πολλοί τε καὶ ὀνομαστοί. ἑπτὰ μὲν δὴ τῶν νεῶν ἐπεκράτησαν τρόπῳ τοιούτῳ οἱ Ἀθηναῖοι.

103. XVIII. THE PERSIANS SAIL AROUND TO PHALERUM. SIGNAL OF THE SHIELD.

ταῖς δὲ λοιπαῖς οἱ βάρβαροι περιέπλεον Σούνιον βουλόμενοι φθᾶσαι τοὺς Ἀθηναίους ἀφικόμενοι εἰς τὸ ἄστυ. αἰτία δ᾽ ἔσχεν ἐν Ἀθηναίοις τοὺς Πέρσας πρᾶξαι ταῦτα μηχανῇ προδοτῶν τινων· οὗτοι γὰρ συνθέμενοι τοῖς Πέρσαις, ὡς ὑπωπτεύετο, ἀνεδείξαν ἀσπίδα αὐτοῖς ἤδη οὖσιν ἐν ταῖς ναυσί. τότε μὲν Ἀθηναῖοι καὶ αὐτοὶ ὡς τάχιστα ἐβοήθουν εἰς τὸ ἄστυ. καὶ ἔφθασάν τε τοὺς βαρβάρους ἀφικόμενοι καὶ ἐστρατοπεδεύοντο ἐν Κυνοσάργει, αἱ δὲ τῶν βαρβάρων νῆες περιπλεύσασαι Σούνιον ὥρμουν περὶ Φάληρον· τοῦτο γὰρ ἦν τότε τὸ ἐπίνειον τῶν Ἀθηναίων· ἰδόντες δὲ κατελθὸν τὸ στράτευμα ἀπέπλεον ὀπίσω ἐπὶ τῆς Ἀσίας.

104. XIX. THE SPARTANS COME TOO LATE, BUT SEE THE BATTLEFIELD.

τῶν δὲ Λακεδαιμονίων ἦκον εἰς τὰς Ἀθήνας δισχίλιοι μετὰ τὴν πανσέληνον, τοσαύτῃ σπουδῇ χρησάμενοι ὥστε τριταῖοι ἐκ Σπάρτης ἐγένοντο ἐν τῇ Ἀττικῇ. ὕστεροι δὲ ἀφικόμενοι τῆς μάχης ἐβούλοντο ὅμως θεᾶσασθαι τοὺς Μήδους· καὶ οὕτως ἐλθόντες εἰς

τὸν Μαραθῶνα ἐθεῶντο τοὺς νεκρούς· θεασάμενοι δὲ κατῄνεσάν τε καὶ ἐπαινοῦντες τούς τε Ἀθηναίους καὶ τὸ ἔργον ἀπηλλάσσοντο οἴκαδε. ἐν ταύτῃ τῇ ἐν Μαραθῶνι μάχῃ ἀπέθανον τῶν βαρβάρων κατὰ ἑξακισχιλίους καὶ τετρακοσίους ἄνδρας. Ἀθηναίων δὲ ἑκατὸν ἐνενήκοντα καὶ δύο.

105. I. ENTERING MANHOOD, HERACLES SEES TWO WOMEN AT A DISTANCE.

καὶ Πρόδικος δὲ ὁ σοφὸς ἐν τῷ συγγράμματι τῷ περὶ τοῦ Ἡρακλέους ὧδέ πως ἔλεγεν ὅσα ἐγὼ μέμνημαι. ἐπεὶ Ἡρακλῆς εἰς ἥβην ὥρμᾶτο, ἐν ᾗ οἱ νέοι ἤδη αὐτοκράτορες γιγνόμενοι δηλοῦσιν εἴτε τὴν δι᾽ ἀρετῆς ὁδὸν τρέψονται εἴτε τὴν διὰ κακίας, ἐξελθὼν εἰς τόπον ἡσυχον ἐκάθητο ἀπορῶν ὁποτέραν τῶν ὁδῶν τράπηται. καὶ ἐφάνησαν δύο γυναῖκες μεγάλαι προϊοῦσαι, ἡ μὲν ἑτέρα καλὴ ἰδεῖν τὸ σῶμα, τὰ ὄμματα καὶ τὴν ἐσθῆτα, ἡ δ᾽ ἑτέρα διὰ τὸ χρῶμα λευκοτέρα τε καὶ ἐρυθροτέρα τοῦ ὄντος, καὶ πολλάκις κατεσκόπειτο ἑαυτὴν καὶ εἰς τὴν ἑαυτῆς σκιὰν ἀπέβλεπεν.

106. II. THEY APPROACH. THE LATTER, RUNNING AHEAD, SPEAKS.

ὡς δὲ ἐγένοντο πλησιαίτερον τοῦ Ἡρακλέους, ἡ μὲν πρόσθεν ῥηθεῖσα προῆει τὸν αὐτὸν τρόπον, ἡ δ᾽ ἑτέρα θεῖν ἤρχετο ὡς πρώτη παρ᾽ αὐτὸν ἀφίκηται. εἶπεν οὖν ἔτι προτρέχουσα, 'ὁρῶ σε, ὦ Ἡράκλεις, ἀπορούντα ποίαν ὁδὸν ἐπὶ τὸν βίον τράπῃ. ἐὰν οὖν ἐμὲ φίλην ποιήσῃ, ἐπὶ τὴν ἡδίστην τε καὶ ῥᾴστην ὁδὸν ἄξω σε, καὶ οὐδεμιᾶς μὲν τῶν ἡδονῶν δεήσει, τῶν δὲ πόνων ἄπειρος διαβιώσει· πρῶτον μὲν γὰρ οὐ πολέμων οὐδὲ πραγμάτων φροντιεῖς, ἀλλὰ διάξεις σκοπούμενος πῶς ἂν ἐσθίων καὶ πίνων καὶ καθεύδων μάλιστα τερφθείης.'

καὶ ὁ Ἡρακλῆς ἀκούσας ταῦτα, 'ὦ γύναι,' ἔφη, 'ὄνομα δέ σοι τί ἐστιν;' ἡ δ᾽ ἔφη, 'οἱ μὲν ἐμοὶ φίλοι καλοῦσί με Εὐδαιμονίαν· οἱ δὲ μισοῦντες ὀνομάζουσί με Κακίαν.'

107. III. THE OTHER STATES HER CASE.

καὶ ἐν τούτῳ ἡ ἑτέρα προσελθοῦσα εἶπε, 'καὶ ἐγὼ ἥκω πρὸς σέ, ὦ Ἡράκλεις, εἰδυῖα τοὺς γεννήσαντάς σε, καὶ τὴν σὴν φύσιν· ἐξ ὧν ἐλπίζω, εἰ τὴν πρὸς ἐμὲ ὁδὸν τράποιο, σφόδρ᾽ ἂν σε τῶν καλῶν καὶ σεμνῶν ἐργάτην ἀγαθὸν γενέσθαι. οὐκ ἐξαπατήσω δέ σε προοιμίοις ἡδονῆς, ἀλλ᾽ ἅπερ οἱ θεοὶ διέθεσαν πάντα ταῦτα μετ᾽ ἀληθείας

λέξω· τῶν γὰρ ὄντων ἀγαθῶν καὶ καλῶν οὐδὲν ἄνευ πόνου καὶ ἐπιμελείας θεοὶ διδόασιν ἀνθρώποις· ἀλλ᾽ εἴτε τοὺς θεοὺς ἵλεως εἶναί σοι βούλει, θεραπευτέον τοὺς θεούς· εἴτε ὑπὸ φίλων ἐθέλεις ἀγαπᾶσθαι, τοὺς φίλους εὐεργετητέον· εἰ δὲ καὶ τῷ σώματι βούλει δυνατὸς εἶναι, τῇ γνώμῃ ὑπηρετεῖν ἐθιστέον τὸ σῶμα, καὶ γυμναστέον σὺν πόνοις καὶ ἱδρῶτι.'

108. IV. VICE MAKES A LAST APPEAL.

καὶ ἡ Κακία ὑπολαβοῦσα εἶπεν, 'ἐννοεῖς, ὦ Ἡράκλεις, ὡς χαλεπὴν καὶ μακρὰν ὁδὸν ἐπὶ τὰς εὐφροσύνας ἡ γυνή σοι αὕτη διηγεῖται; ἐγὼ δὲ ῥᾳδίαν καὶ βραχεῖαν ὁδὸν ἐπὶ τὴν εὐδαιμονίαν ἄξω σε.'

109. V. VIRTUE DENOUNCES VICE, AND COMPARES THEIR DEVOTEES.

καὶ ἡ Ἀρετὴ εἶπεν, 'ὦ τλῆμον, τί δὲ σὺ ἀγαθὸν ἔχεις; ἢ τί ἡδὺ οἶσθα, μηδὲν τούτων ἕνεκα πράττειν ἐθέλουσα; ἥτις οὐδὲ τὴν τῶν ἡδέων ἐπιθυμίαν ἀναμένεις, ἀλλὰ πρὶν ἐπιθυμῆσαι, πάντων ἐμπίπλασαι, πρὶν μὲν πεινῆν, ἐσθίουσα, πρὶν δὲ διψῆν, πίνουσα· ἵνα δὲ καθυπνώσῃς ἡδέως κλίνας μαλακὰς παρασκευάζῃ· οὐ γὰρ διὰ τὸ πονεῖν, ἀλλὰ διὰ τὸ μηδὲν ἔχειν ὅ τι ποιῇς, ὕπνου ἐπιθυμεῖς. ἀθάνατος δὲ οὖσα, ἐκ θεῶν μὲν ἀπέρριψαι, ὑπὸ δὲ ἀνθρώπων ἀγαθῶν ἀτιμάζει. τοῦ δὲ πάντων ἡδίστου ἀκούσματος, ἐπαίνου ἑαυτῆς, ἀνήκοος εἶ, καὶ τοῦ πάντων ἡδίστου θεάματος ἀθέατος· οὐδὲν γὰρ πώποτε σαυτῆς ἔργον καλὸν τεθέασαι. τίς δ᾽ ἄν σοι λεγούσῃ τι πιστεύσειεν; ἢ τίς ἂν εὖ φρονῶν τῶν σῶν φίλων τολμήσειεν εἶναι; οἱ μὲν νέοι τοῖς σώμασιν ἀδύνατοί εἰσι, πρεσβύτεροι δὲ γερόμενοι ταῖς ψυχαῖς ἀνόητοι. ἐγὼ δὲ σύνειμι μὲν τοῖς θεοῖς, σύνειμι δὲ ἀνθρώποις τοῖς ἀγαθοῖς. ἔργον δὲ καλὸν χωρὶς ἐμοῦ οὔποτε γίγνεται.

τιμῶμαι δὲ μάλιστα πάντων καὶ παρὰ θεοῖς καὶ παρὰ ἀνθρώποις. ἔστι δὲ τοῖς μὲν ἐμοῖς φίλοις ἡδεῖα ἀπόλαυσις καὶ σίτων καὶ ποτῶν· ἀνέχονται γὰρ ἕως ἂν ἐπιθυμήσωσιν αὐτῶν. ὕπνος δ᾽ αὐτοῖς πάρεστιν ἡδίων ἢ τοῖς ἀμόχθοις, καὶ οὔτε ἀπολείποντες αὐτὸν ἄχθονται, οὔτε διὰ τοῦτον ἀμελοῦσι τὰ δέοντα πράττειν. καὶ οἱ μὲν νέοι τοῖς τῶν πρεσβυτέρων ἐπαίνοις χαίρουσιν, οἱ δὲ γεραίτεροι ταῖς τῶν νέων τιμαῖς ἀγάλλονται· καὶ δι᾽ ἐμὲ φίλοι μὲν θεοῖς ὄντες, ἀγαπητοὶ δὲ φίλοις, τίμιοι δὲ πατρίσιν, ὅταν ἔλθῃ τὸ πεπρωμένον τέλος, οὐ μετὰ λήθης ἄτιμοι κεῖνται, ἀλλὰ μετὰ μνήμης τὸν ἀεὶ χρόνον ὑμνούμενοι θάλλουσι. τοιαῦτά σοι, ὦ παῖ τοκέων ἀγαθῶν Ἡράκλεις, ἔξεστι διαπονησαμένῳ τὴν μακαριωτάτην εὐδαιμονίαν

κεκτῆσθαι.'

110. GORDIUS RECEIVES A WONDERFUL OMEN FROM ZEUS.

Γόρδιος ἐλέγετο εἶναι τῶν πάλαι Φρυγῶν ἀνὴρ πένης. ἀροῦντος δέ ποτε ἐν τοῖς ἀγροῖς ἀετὸς καταβὰς ἐκ τοῦ οὐρανοῦ ἐκάθιζεν ἐπὶ τὸν ζυγὸν καὶ πολὺν χρόνον ἐπέμεινε καθήμενος. ὁ δὲ ἐκπλαγεὶς τῇ ὄψει ἦει μὲν πρὸς τὴν πόλιν κοινωσόμενος τοῖς μάντεσι, πορευόμενος δὲ ἐνέτυχε παρθένῳ ὑδρευομένῃ καὶ εἶπε πρὸς αὐτὴν τὰ περὶ τοῦ ἀετοῦ. ἡ δέ, ἦν γὰρ καὶ αὐτὴ τοῦ μαντικοῦ γένους, ἐκέλευσεν αὐτὸν ἐπανελθόντα εἰς τὸν αὐτὸν ἀγρὸν θύειν τῷ Διὶ τῷ βασιλεῖ. ὁ δὲ ἐδεήθη τῆς κόρης συνέπεσθαί τε καὶ γῆμασθαι αὐτῷ. καὶ ἔφυ αὐτῶν παῖς ὄνομα Μίδας. ἤδη δὲ ἀνδρὸς γενομένου τοῦ παιδὸς καλοῦ τε καὶ γενναίου, ἐστασίαζόν ποτε οἱ ἐν τῇ πόλει, καὶ ἐγένετο αὐτοῖς χρησμὸς ὡς ἅμαξα ἄξει αὐτοῖς βασιλέα καὶ ὡς οὗτος καταπαύσει τὴν στάσιν. αὐτοῖς δ᾽ ἔτι περὶ τούτων βουλευομένοις ἔτυχε προσελθὼν ὁ Μίδας ἐκ τῶν ἀγρῶν οὐκ εἰδὼς ἐκκλησίαν συγκληθεῖσαν, καὶ εὐθὺς ἐφαίνετο ἐν μέσῳ ἐφ᾽ ἁμάξης. οἱ δὲ συμβαλόμενοι τὸ χρῆμα ἐκ τοῦ μαντείου ἐγνωσάν τε τοῦτον ἐκεῖνον ὄντα, ὃν ὁ θεὸς αὐτοῖς ἔφραξε, καὶ βασιλέα κατέστησαν τὸν Μίδαν· καταστὰς δὲ εἰς τὴν βασιλείαν καὶ τὴν στάσιν καταπαύσας, τὴν ἅμαξαν ἐν τῷ νεῷ ἀνέθηκε Διί. ἔξεστι δὲ ἀναγιγνώσκειν ἃ ἐποίησεν Ἀλέξανδρος ὕστερον ἰδὼν τὴν ἅμαξαν ταύτην.

THE BATTLE AT THERMOPYLAE.

111. I. GREEK AND PERSIAN FACE EACH OTHER.

Ξέρξης δὲ καὶ ὁ πεζὸς πορευθέντες διὰ Θετταλίας ἐστρατοπεδεύοντο ἐν τῇ Τραχινίᾳ, οἱ δὲ δὴ Ἕλληνες ἐν τῇ διόδῳ. καλεῖται δὲ ὁ χῶρος οὗτος ὑπὸ μὲν τῶν πλειόνων Ἑλλήρων Θερμοπύλαι, ὑπὸ δὲ τῶν περιοίκων Πύλαι. ἐστρατοπεδεύοντο οὖν ἑκάτεροι ἐν τούτοις τοῖς χωρίοις. οἵδε δὴ ἦσαν Ἑλλήρων οἱ ὑπομένοντες τὸν Πέρσην ἐν τούτῳ τῷ χώρῳ· Σπαρτιατῶν μὲν τριακόσιοι ὁπλῖται μετὰ Λεωνίδου τοῦ Λακεδαιμονίων βασιλέως, ἀπὸ δὲ Κορίνθου τετρακόσιοι, καὶ Θηβαίων τετρακόσιοι, καὶ πλείονς ἢ τετρακισχίλιοι ἀπὸ τῶν ἄλλων πόλεων.

112. II. SOME ARE FOR A RETREAT. LEONIDAS WILL NOT DESERT HIS POST.

οἱ δὲ ἐν Θερμοπύλαις Ἕλληνες, ἐπειδὴ πρὸ τῆς εἰσβολῆς ἐγένετο ὁ Πέρσης, φοβούμενοι ἐβουλεύοντο περὶ ἀπαλλαγῆς. τοῖς μὲν ἄλλοις Πελοποννησίοις ἐδόκει ἐλθεῖν τε εἰς Πελοπόννησον καὶ τὸν ἰσθμὸν ἔχειν ἐν φυλακῇ. Λεωνίδας δὲ ἐν Θερμοπύλαις τε μένειν ἐψηφίζετο καὶ πέμπειν ἀγγέλους εἰς τὰς πόλεις κελεύοντας ἐπιβοηθεῖν, ὡς αὐτῶν ὀλίγων ὄντων τὸν στρατὸν τῶν Μήδων ἀλέξασθαι.

113. III. XERXES' SCOUT FINDS LITTLE TO REPORT.

ταῦτα βουλευομένων αὐτῶν, ἔπεμπε Ξέρξης ἱππέα ὀψόμενον ὁπόσοι τέ εἰσι καὶ ὅ τι ποιεῖεν. ὣν δὲ ἔτι ἐν Θετταλίᾳ ἤκουεν ὅτι ἡ τῶν Ἑλλήνων στρατιὰ ὀλίγη ἐστὶ καὶ ὁ ἡγεμὼν Λεωνίδας ὢν γένος Ἡρακλείδης. ὡς δὲ προσήλασεν ὁ ἱππεὺς πρὸς τὸ στρατόπεδον οὐκ ἐθέατο τὸ πᾶν στρατόπεδον· τοὺς γὰρ τεταγμένους ἔσω τοῦ τείχους οὐκ ἐξῆν κατιδεῖν. ἐμάνθανεν μέντοι τοὺς ἔξω, καὶ ἔτυχον δὴ οἱ Λακεδαιμόνιοι τοῦτον τὸν χρόνον ἔξω τεταγμένοι. τοὺς μὲν ἐώρα γυμναζομένους, τοὺς δὲ τὰς κόμας κτενιζομένους. ταῦτα δὴ θεώμενος ἐθαύμαζε καὶ τὸ πλῆθος ἐμάνθανεν. μαθὼν δὲ πάντα ἀπήλαυνε καθ᾽ ἡσυχίαν· οὐ γάρ τις ἐδίωκεν αὐτόν. ἀπελθὼν δὲ ἔλεγε Ξέρξῃ πάντα ὅσα ἐωράκει.

114. IV. XERXES PERPLEXED. DEMARATUS EXPLAINS THE BEHAVIOR OF THE GREEKS.

Ξέρξῃ δὲ γελοῖα ἐφαίνοντο ποιεῖν οἱ Λακεδαιμόνιοι. μετεπέμψατο οὖν Δημάρατον ὃς ἐν τῷ στρατοπέδῳ ἦν· ὁ δ᾽ ἦλθεν. ἤρωτα δὲ Ξέρξης ὅ τι οἱ Λακεδαιμόνιοι ποιήσουσιν. ὁ δὲ εἶπε, 'πρότερον μὲν τὴν ἀλήθειαν ἔλεγον καὶ νῦν δὴ λέξω. ἄκουσον οὖν. οὗτοι οἱ ἄνδρες ἥκουσι μαχούμενοι ἡμῖν περὶ τῆς εἰσόδου καὶ ταῦτα παρασκευάζονται· νόμος γὰρ αὐτοῖς ἐστι τὰς κεφαλὰς κοσμεῖσθαι ἐπὰν μέλλωσι κινδυνεύειν τῇ ψυχῇ. ἐὰν δὲ τούτους καὶ τοὺς ἐν Σπάρτῃ νικῶμεν, ἔστιν οὐδὲν ἄλλο ἔθνος ἀνθρώπων ὅ σοι, ὦ βασιλεῦ, μαχεῖται· νῦν γὰρ πρὸς καλλίστην πόλιν τε καὶ ἀρίστους ἄνδρας ἐξελαύνεις.' ταῦτα δὲ λέγων οὐκ ἔπειθε Ξέρξην.

115. V. THE MEDES FAIL TO FORCE A WAY.

τέσσαρας μὲν δὴ ἡμέρας περιέμενεν ὁ Ξέρξης ἐλπίζων αὐτοὺς οἴκαδε ἀπιέναι. τῇ δὲ πέμπτῃ, ὡς οὐκ ἀπηλάσσοντο, πέμπει ἐπ᾽ αὐτοὺς Μήδους τε καὶ Κισσίους κελεύσας ἄγειν ἐκείνους τοὺς Λακεδαιμονίους πρὸς ἑαυτόν. ἐν δὲ τῇ μάχῃ πολλοὶ τῶν βαρβάρων ἔπιπτον· ἀλλὰ τῶν Λακεδαιμονίων οὐδένα εἶλον οἱ Μῆδοι. δῆλον δ᾽ ἐγένετο πᾶσι καὶ οὐχ ἥκιστα αὐτῷ βασιλεῖ ὅτι πολλοὶ μὲν ἄνθρωποι

ἦσαν, ὀλίγοι δὲ ἄνδρες.

116. VI. THE IMMORTALS UNDER HYDARNES NEXT MAKE THE ATTEMPT.

ἐπειδὴ δὲ οἱ Μῆδοι συνέμισγον Ἕλλησιν, οὐδὲν ἐφέροντο· ἐνταῦθα οὗτοι μὲν ὑπεξῆσαν, οἱ δὲ Πέρσαι ἐπῆσαν, οὓς ἀθανάτους ἐκάλει βασιλεύς, ὧν ἦρχεν Ὑδάρνης, ὡς δὴ αὐτοὶ ῥᾳδίως μέλλοντες νικήσειν. ὅτε δὲ καὶ οὗτοι συνέμισγον τοῖς Ἕλλησιν, οὐδὲν πλέον ἐφέροντο τῆς στρατιᾶς τῆς Μηδικῆς, ἀλλὰ τὰ αὐτά· ἐν γὰρ στενοπόρῳ τε χώρῳ ἐμάχοντο καὶ δόρασι βραχυτέροις ἐχρῶντο ἢ οἱ Ἕλληνες, καὶ οὐκ εἶχον πλήθει χρῆσασθαι. Λακεδαιμόνιοι δὲ ἐμάχοντο ἀξίως λόγου. καί ποτε ἐν ἀταξίᾳ, ὡς ἐδόκει, ἔφυγον· οἱ δὲ βάρβαροι ὁρῶντες αὐτοὺς φεύγοντας βοῇ ἐπῆσαν, οἱ δὲ εὐθὺς ἐν τάξει γενόμενοι, κατέβαλλον ὡς πλείστους τῶν Περσῶν. ἐνταῦθα καὶ αὐτῶν τῶν Σπαρτιατῶν ἔπιπτον ὀλίγοι.

117. VII. AND ARE FOILED. XERXES FRIGHTENED.

ἐπεὶ δὲ οἱ ἀθάνατοι οὐδὲν ποιεῖν ἐδύναντο, ὀπίσω ἀπήλαυνον. ἐν δὲ τῇ μάχῃ λέγεται βασιλέα τρὶς ἀναδραμεῖν ἐκ τοῦ θρόνου δείσαντα περὶ τῇ στρατιᾷ. τῇ δὲ ὑστεραίᾳ οἱ βάρβαροι ἐλπίσαντες αὐτοὺς οὐ δυνήσεσθαι ἔτι μάχεσθαι συνεβάλλοντο, ἀλλ᾽ οὐδὲν ἄμεινον ηὑρίσκοντο ἢ τῇ προτεραίᾳ. καὶ γὰρ οἱ Ἕλληνες κατὰ τάξεις τε καὶ κατ᾽ ἔθνη κεκοσμημένοι ἦσαν, καὶ ἐν μέρει ἕκαστοι ἐμάχοντο. πλὴν Φωκέων· οὗτοι δὲ εἰς τὸ ὄρος ἐτάχθησαν φυλάξοντες τὴν ἀτραπόν. οἱ οὖν Πέρσαι αὖθις ἀπήλαυνον.

118. VIII. EPHIALTES BRINGS INFORMATION OF A SECRET PATH.

ἀπορούντος δὲ βασιλέως ὅ τι ποιήσεται ἐν τῷ παρόντι πράγματι, Ἐφιάλτης, ἀνὴρ Μηλιεύς, ἐλθὼν εἰς λόγους αὐτῷ, ὡς μέγα τι παρὰ βασιλέως δοκῶν λήψεσθαι ἔλεγεν ἀτραπὸν εἶναι διὰ τοῦ ὄρους φέρουσαν εἰς Θερμοπύλας καὶ οὕτω βασιλέα δυνήσεσθαι τοὺς ἐν τῇ εἰσβολῇ Ἕλληνας διαφθεῖραι. περιχαρὴς δὲ γενόμενος Ξέρξης ἀπέπεμπεν Ὑδάρνη καὶ τοὺς στρατιώτας αὐτοῦ.

119. IX. BY WHICH HYDARNES ASCENDS BY NIGHT.

κατὰ ταύτην δὴ τὴν ἀτραπὸν οἱ Πέρσαι τὸν Ἀνωπὸν διαβάντες ἐπορεύοντο πᾶσαν τὴν νύκτα. ἡμέρα τε ἐγίγνετο καὶ ἀφικνοῦντο ἐπ᾽

ἀκρωτηρίῳ τοῦ ὄρους. ἐνταῦθα δὲ ἐφύλασσον, ὡς καὶ πρότερόν μοι δεδήλωται, χίλιοι ὁπλῖται Φωκέων. ἀλλὰ οἱ Πέρσαι ἐλάνθανον ἀναβαίνοντες, τοῦ ὄρους παντὸς ὄντος πλήρους δένδρων. πρὶν δὲ τὰ ὅπλα ἀναλαβεῖν τοὺς Φωκέας, ἤδη οἱ βάρβαροι παρῆσαν. ἐνταῦθα Ὑδάρνης φοβηθεὶς μὴ ὥσι Λακεδαιμόνιοι ἥρετο τὸν Ἐφιάλτην ὅτινες εἴησαν οἱ ἄνδρες· πυθόμενος δὲ διέταττε τοὺς Πέρσας ὡς εἰς μάχην. οἱ δὲ Φωκεῖς ὅτε ἐβάλλοντο πολλοῖς τοξεύμασιν ᾤχοντο φεύγοντες ἐπὶ τὸ τοῦ ὄρους ἄκρον καὶ παρεσκευάζοντο ὡς ἀπολούμενοι. οἱ δὲ ἀμφὶ Ἐφιάλτην καὶ Ὑδάρνη Πέρσαι οὐδένα λόγον Φωκέων ποιησάμενοι κατέβαινον τὸ ὄρος ὡς τάχιστα.

120. X. THE GREEKS AWAKE TO THEIR DOOM.

τοῖς δὲ ἐν Θερμοπύλαις Ἕλλησι πρῶτον μὲν ὁ μάντις Μεγιστίας εἰσιδὼν εἰς τὰ ἱερὰ ἔφρασε τὸν μέλλοντα θάνατον, ἔπειτα δὲ καὶ αὐτόμολοι ἦσαν ἐξαγγέλλοντες τὴν περίοδον τῶν Περσῶν. οὗτοι μέν, ἔτι νυκτὸς οὔσης, ἐσήμηναν, τρίτοι δὲ οἱ ἡμεροσκόποι καταδραμόντες ἀπὸ τῶν ἄκρων, ἤδη διαφαινούσης ἡμέρας. ἐνταῦθα ἐβουλεύοντο οἱ Ἕλληνες, καὶ αὐτῶν δύο αἱ γνῶμαι ἦσαν· οἱ μὲν γὰρ ἔλεγον ἄμεινον εἶναι τὴν τάξιν ἐκλιπεῖν, οἱ δὲ ἀντέλεγον· μετὰ δὲ τοῦτο οἱ μὲν ἀπῆλθον, οἱ δὲ αὐτῶν ἅμα Λεωνίδα μένειν αὐτοῦ παρεσκευάζοντο. λέγεται δὲ αὐτὸς Λεωνίδας ἀποπέμψαι τοὺς βουλομένους ἀπιέναι· αὐτῷ δὲ καὶ τοῖς παροῦσι Σπαρτιατῶν οὐκ ἔχειν καλῶς ἐκλιπεῖν τὴν τάξιν εἰς ἣν ἦλθον φυλάξοντες.

121. XI. LEONIDAS AND MEGISHAS, THE PROPHET, CHOOSE TO DIE.

Λεωνίδα δὲ μένοντι ἐν Θερμοπύλαις κλέος μέγα ἐγένετο, καὶ τὴν Σπάρτης εὐδαιμονίαν οὐκ ἠτίμησεν· ὁ γὰρ θεὸς ἐν Δελφοῖς ἔχρησεν ᾧδε τοῖς Λακεδαιμονίοις περὶ τοῦ πολέμου τούτου αὐτίκα ἀρχομένου· 'ἢ Λακεδαίμονα διαφθαρήσεσθαι ὑπὸ τῶν βαρβάρων ἢ τὸν βασιλέα ἀπολεῖσθαι.' μεμνημένος δὲ τούτων Λεωνίδας ἀπέπεμψε τοὺς συμμάχους τε καὶ τὸν μάντιν ἔμελλεν μετ᾽ αὐτῶν ἀποπέμψειν ἵνα μὴ ἀποθάνῃ. ὁ δὲ ἀποπεμπόμενος αὐτὸς οὐκ ἀπέλιπε· τὸν δὲ παῖδα συστρατευόμενον, ὄντα μονογενῆ, ἀπέπεμψεν.

122. XII. NOR WILL THE THESPIANS GO.

οἱ μὲν σύμμαχοι οἱ ἀποπεμπόμενοι ᾤχοντό τε ἀπιόντες καὶ ἐπείθοντο Λεωνίδα. Θεσπιεῖς δὲ καὶ Θηβαῖοι κατέμειναν μόνοι παρὰ

Λακεδαιμονίοις. τούτων δὲ οἱ Θηβαῖοι ἔμενον οὐ βουλόμενοι· κατεῖχε γὰρ αὐτοὺς Λεωνίδας· Θεσπιεῖς δὲ ἑκόντες μάλιστα, οἳ οὐκ ἔφασαν ἀπολιπόντες Λεωνίδαν καὶ τοὺς μετ᾽ αὐτοῦ ἀπαλλάξεσθαι, ἀλλὰ καταμείναντες συναπέθανον. ἐστρατήγει δὲ αὐτῶν Δημόφιλος.

123. XIII. THE FINAL ONSET.

οἵ τε δὴ βάρβαροι οἱ ἀμφὶ Ξέρξην προσῇσαν, καὶ οἱ ἀμφὶ Λεωνίδαν Ἕλληνες ὡς τὴν ἐπὶ θανάτῳ ἔξοδον ποιησόμενοι εἰς τὸ εὐρύτερον τῆς διόδου ἐπεξῆσαν. τότε δὲ συμμίσγοντες ἔξω τῶν στερῶν ἔπιπτον πολλοὶ τῶν βαρβάρων· ὄπισθεν γὰρ οἱ ἡγεμόνες ἔχοντες μάστιγας ἔρραπιζον πάντα ἄνδρα, εἰς τὸ πρόσω ἐλαύνοντες. πολλοὶ μὲν δὴ αὐτῶν εἰσέπιπτον εἰς τὴν θάλασσαν καὶ διεφθείροντο, πολλῷ δὲ ἔτι πλείους κατεπατοῦντο ζωοὶ ὑπ᾽ ἀλλήλων· ἦν δὲ λόγος οὐδεὶς τοῦ ἀπολλυμένου. ἐπιστάμενοι γὰρ οἱ Ἕλληνες τὸν μέλλοντα θάνατον ἐκ τῶν περιιόντων τὸ ὄρος θαρραλέως ἐμάχοντο. καὶ Λεωνίδας τε ἐν τούτῳ τῷ πόνῳ πίπτει, ἀνὴρ γενόμενος ἄριστος, καὶ ἕτεροι μετ᾽ αὐτοῦ ὀνομαστοὶ Σπαρτιατῶν. καὶ δὴ καὶ ἐνταῦθα Περσῶν πίπτουσι καὶ πολλοὶ ἄλλοι ὀνομαστοί, καὶ δύο παῖδες Δαρείου. Ξέρξου τε δὴ δύο ἀδελφοὶ ἐνταῦθα πίπτουσι μαχόμενοι ὑπὲρ τοῦ νεκροῦ τοῦ Λεωνίδου· πολλοῦ γὰρ οἱ Πέρσαι ἐποιοῦντο τὸ Λεωνίδου σῶμα λαβεῖν. τέλος δὲ αὐτὸ ἀπέφερον, τῶν Ἑλλήνων τετράκις τρεψαμένων τοὺς βαρβάρους. ταῦτα δὲ ἐγίγνετο μέχρι οὗ οἱ Πέρσαι σὺν Ἐφιάλτῃ παρῆσαν. ὡς δὲ τούτους ἤκειν ἐπύθοντο, οἱ Ἕλληνες πάντες πλὴν Θηβαίων εἰς τὸ στερὸν τῆς ὁδοῦ ἀνεχώρουν ὀπίσω καὶ καθίζοντο ἐπὶ τὸν κολωνόν. ὁ δὲ κολωνός ἐστιν ἐν τῇ εἰσόδῳ ὅπου νῦν ὁ λίθινος λέων ἕστηκεν ἐπὶ Λεωνίδα. αὐτοὺς δὲ ἐν τούτῳ τῷ χώρῳ ὄντας ὡς ἀλεξομένους τοὺς πολεμίους μαχαίραις καὶ χερσὶ καὶ στόμασιν, οἱ βάρβαροι πάντοθεν ἐτόξευον καὶ ἔβαλλον. τέλος δὲ πάντες ἀπέθανον.

124. XIV. WHO WAS BRAVEST?

Λακεδαιμονίων δὲ καὶ Θεσπιέων τοιούτων ὄντων, ὅμως λέγεται ἀνὴρ ἄριστος γενέσθαι Σπαρτιάτης Διηνέκης. μετὰ δὲ τοῦτον ἀριστεῦσαι λέγονται Λακεδαιμόνιοι δύο ἀδελφοί· Ἀλφειός τε καὶ Μάρων, Ὀρσιφάντου παῖδες. Θεσπιέων δὲ εὐδοκίμει μάλιστα ἀνὴρ ᾧ ὄνομα ἦν Διθύραμβος.

125. XV. THE COMMON EPITAPH.

πᾶσιν ἀποθανοῦσιν ἐν Θερμοπύλαις, τοῖς τε Σπαρτιάταις καὶ τοῖς

συμμάχοις οἱ ἐν τῇ πρώτῃ μάχῃ ἔπεσον, γράμματα ἐπιγέγραπται λέγοντα τάδε·

'μυριάσιν ποτὲ τῇδε τριηκοσίαις ἐμάχοντο ἐκ Πελοποννάσου χιλιάδες τέτορες.'

126. XVI. EPITAPH OF THE SPARTANS.

ταῦτα μὲν δὴ τοῖς πᾶσιν ἐπιγέγραπται, τοῖς δὲ Σπαρτιάταις μόνοις·

'ὦ ξεῖν', ἀγγέλλειν Λακεδαιμονίοις, ὅτι τῇδε κείμεθα, τοῖς κείνων ῥήμασι πειθόμενοι.'

A CHAPTER ABOUT ALEXANDER.

127. I. WHY HIS EXPLOITS WERE NOT BETTER KNOWN.

ἀνιόντα δ' Ἀλέξανδρον εἰς Ἴλιον ὁ κυβερνήτης στεφάνῳ χρυσῷ ἐστεφάνωσεν. ὁ δὲ καὶ αὐτὸς τὸν Ἀχιλλέως τάφον ἐστεφάνωσε καὶ ἠυδαιμόνισεν, ὡς λόγος, Ἀλέξανδρος Ἀχιλλέα, ὅτι Ὁμήρου κήρυκος εἰς τὴν ἔπειτα μνήμην ἔτυχεν. ἄλλοι δὲ τῶν παλαιῶν ἐκηρύχθησαν ὥστε πολὺ μείον γιγνώσκεται τὰ Ἀλεξάνδρου ἢ τὰ φαυλότατα τῶν πάλαι ἔργων. καὶ ἡ τῶν μυρίων σὺν Κύρῳ ἀνάβασις ἐπὶ βασιλέα Ἀρταξέρξην καὶ τὰ πάθη τῶν στρατιωτῶν καὶ ἡ κατάβασις ὅτε Ξενοφῶν αὐτοὺς κατήγαγε, πολὺ ἐπιφανέστερα Ξενοφῶντος ἕνεκά ἐστιν ἢ Ἀλέξανδρος καὶ τὰ αὐτοῦ. καίτοι Ἀλέξανδρος οὔτε σὺν ἄλλῳ ἐστράτευσεν, οὔτε φεύγων μέγαν βασιλέα ἐκράτησε τῶν ἐμποδὼν γιγνομένων. ἀλλ' οὐκ ἔστιν ἄλλος εἷς ἀνὴρ ὃς τοιαῦτα ἔργα τὸ μέγεθος καὶ τοσαῦτα τὸ πλῆθος ἐν Ἕλλησιν ἢ βαρβάροις ἀπεδείξατο. διὰ ταῦτα Ἀριανὸς συνέγραψε περὶ τῶν Ἀλεξάνδρου ἔργων ἵνα οἱ τότε ἄνθρωποι περὶ αὐτῶν μανθάνοιεν.

128. II. DIFFICULTIES OF A MARCH IN MID-ASIA.

ἐντεῦθεν μὲν παρὰ θάλασσαν ᾔει δι' ἐρήμου, οὗ μέντοι δι' ἀνύδρου τῆς χώρας, σταδίους εἰς χιλίους καὶ ἑξακοσίους. ἐντεῦθεν δὲ εἰς τὴν μεσόγαιαν ἐτράπετο, ὅπου τὸ μαντεῖον ἦν τοῦ Ἄμμωνος. ἔστι δὲ ἐρῆμη ἡ ὁδὸς καὶ ψάμμος πολλὴ καὶ ἄνυδρος· ὕδωρ δὲ ἐξ οὐρανοῦ πολὺ ἐγένετο, καὶ τοῦτο εἰς τὸ θεῖον ἀνηνέχθη· ἀνηνέχθη δὲ εἰς τὸ θεῖον διὰ τοῦτο· νότος ἐπὰν πνέῃ ἐν ἐκείνῳ τῷ χώρῳ, τὴν ψάμμον συμφορεῖ εἰς τὴν ὁδόν, καὶ ἀφανίζεται τὰ σημεῖα αὐτῆς, οὐδ' ἔστιν εἰδέναι ἵνα χρὴ πορεύεσθαι, καθάπερ ἐν πελάγει ψάμμου, ὅτι

σημεῖα οὐκ ἔστι κατὰ τὴν ὁδόν, οὔτε που ὄρος οὔτε δένδρον οὔτε γηλόφοι οἵστισιν οἱ ὁδῖται τεκμαίροιντο ἂν τὴν πορείαν, καθάπερ οἱ ναῦται τοῖς ἄστροις· ἀλλ᾽ ἡ μὲν στρατιὰ Ἀλεξάνδρου ἐπλανᾶτο, καὶ οἱ δὲ ἡγεμόνες ἠπόρουν.

129. III. A PORTENT.

Πτολεμαῖος μὲν δὴ λέγει δράκοντας δύο ἰέναι πρὸ τοῦ στρατεύματος φωνὴν ἱέντας, καὶ τούτους Ἀλέξανδρος ἐκέλευε τοὺς ἡγεμόνας ἕπεσθαι πιστεύσαντας τῷ θείῳ· τοὺς δὲ δράκοντας ἡγήσασθαι εἰς τὸ μαντεῖον καὶ ὀπίσω αὖθις· Ἀριστόβουλος δὲ λέγει κόρακας δύο πετομένους πρὸ τῆς στρατιᾶς γενέσθαι Ἀλεξάνδρῳ τοὺς ἡγεμόνας. καὶ εἰ μὴ οὗτοι οἱ λόγοι ἀληθεῖς εἰσιν, θεῖόν τι ἐγένετο, ὡς πιστεύω, ὥστε ἡ στρατιὰ εἰς Μέμφιν ἀσφαλῶς ἀφίκετο· εἰ δὲ μή, πῶς δυνατὸν ἦν, οὐ φαινομένης τῆς ὁδοῦ, ἀφικέσθαι ἔνθα ἐβούλετο;

130. IV. THE RESULTS OF SUCH CAMPAIGNING.

'αὐτὸς γὰρ δὴ ὁρᾷς,' ἔφη Κοῖνος Ἀλεξάνδρῳ, 'ὅσοι μὲν Μακεδόνων τε καὶ Ἑλλήνων ἅμα σοι ὡρμήθημεν, ὅσοι δὲ ὑπολελείμμεθα· ὧν Θεσσαλοὺς μὲν εὐθὺς οἴκαδε ἀπέπεμψας αἰσθόμενος αὐτοὺς οὐ προθύμους ὄντας· τῶν δὲ ἄλλων Ἑλλήνων, οἱ μὲν ἐν ταῖς πόλεσιν ὑπολελειμμένοι οὐχ ἑκόντες μένουσιν, οἱ δὲ ἀεὶ ἀπολιᾶσι πονοῦντες καὶ κινδυνεύοντες ἐν ταῖς μάχαις· οἱ δὲ ἐκ τῶν τραυμάτων ἀπόμαχοι ἐγένοντο, οἱ δὲ πλείους νόσῳ ἀπωλασι· καὶ οὐκέτι τὰ μὲν σώματα ἡμῶν ἰσχυρά ἐστι, τὰς δὲ γνώμας πολὺ ἔτι μᾶλλον κάμνουσι. πρὸς δὲ τούτους σύμπασι πόθος μὲν γονέων ἐστίν, ὅσοις ἔτι σῴζονται, πόθος δὲ γυναικῶν καὶ παίδων καὶ τῆς οἰκείας γῆς αὐτῆς.'

131. V. SOME ADVICE THAT WAS NOT TAKEN.

'ἐπανελθὼν οὖν αὐτός, εἰ δοκεῖ, εἰς τὴν οἰκείαν γῆν καὶ τὴν σὴν μητέρα ἰδών, καὶ τὰς νίκας ταύτας τὰς πολλὰς καὶ μεγάλας τοῖς φίλοις ἐν τῇ πατρῴᾳ οἰκίᾳ λέξας, ἔξεσταί σοι αὖθις, εἰ βούλει, ἄλλον στόλον ἀποστέλλειν ἐπ᾽ αὐτὰ τὰ Ἰνδῶν γένη.'

132. VI. WHAT ALEXANDER DID.

τοιαῦτα εἰπόντος Κοίνου, θόρυβος ἐγένετο ἐκ τῶν παρόντων, καὶ πολλοὶ δὴ ἐδάκρυον. Ἀλέξανδρος δὲ ἀχθεσθεὶς τὸν σύλλογον διέλυσε. τῇ δὲ ὑστεραίᾳ αὖθις σὺν ὀργῇ τοὺς αὐτοὺς καλέσας, αὐτὸς μὲν ἰέναι ἔφη τοῦ πρόσω, βιάζεσθαι δὲ οὐδένα ἄκοντα Μακεδόνων

συνέπεσθαι. ταῦτ᾽ εἰπὼν ἀπῆλθεν εἰς τὴν σκηνήν, οὐδὲ τῶν φίλων τις ἦλθεν ἐγγὺς αὐτῆς καὶ εἰς τὴν τρίτην ἡμέραν ἀπ᾽ ἐκείνης. καὶ σιγὴ δὲ πολλὴ ἦν ἀνὰ τὸ στρατόπεδον. καὶ γὰρ οἱ στρατιῶται ἤχθοντο τῇ ὀργῇ αὐτοῦ καὶ οὐδὲν μετεβάλλοντο διὰ αὐτήν. ὅμως δὴ ἐλέγετο ἐκεῖνον οὐδὲν μεῖον θύειν πρὶν ἄρχεσθαι τῆς ὁδοῦ. ἀλλ᾽ οὐκ ἐγίγνετο καλὰ τὰ ἱερά. τότε δὴ τοὺς πρεσβυτάτους καὶ ἄλλους τινὰς συναγαγὼν λέγει μέλλειν ὀπίσω ἀποστρέψειν. οἱ δὲ ἐβόων τε οἷα ὄχλος συμμιγὴς χαίρων εἰώθε καὶ ἐδάκρυον οἱ πολλοὶ αὐτῶν· οἱ δὲ πρὸς τὴν σκηνὴν τὴν βασιλικὴν ἐλθόντες ηὔχοντο πολλὰ καὶ ἀγαθὰ Ἀλεξάνδρῳ γενέσθαι.

133. VII. HIS CONDUCT AFTER A BATTLE.

Μακεδόνων δὲ τῶν φίλων Ἀλεξάνδρου ἀμφὶ εἴκοσι καὶ πέντε ἐν τῇ πρώτῃ προσβολῇ ἀπέθανον. καὶ τούτων χαλκαῖ εἰκόνες ἐν Δίῳ ἑστᾶσιν, Ἀλεξάνδρου κελεύσαντος Λύσιππον αὐτὰς ποιῆσαι. ὥσπερ μόνος Ἀλεξάνδρου εἰκόνα ἐποίησε. τῶν δὲ ἄλλων ἱππέων ὑπὲρ ἑξήκοντα, πεζοὶ δὲ εἰς τριάκοντα ἀπέθανον. καὶ τούτους τῇ ὑστεραίᾳ ἔθαψεν Ἀλέξανδρος σὺν τοῖς ὅπλοις τε καὶ ἄλλῳ κόσμῳ· τοῖς δὲ γονεῦσιν αὐτῶν καὶ παισὶν ἔδωκεν ἀτέλειαν λειτουργιῶν καὶ εἰσφορῶν. καὶ τῶν τετρωμένων δὲ πολλὴν πρόνοιαν ἔσχεν, ἐρχόμενός τε αὐτὸς πρὸς ἑκάστους καὶ τὰ τραύματα ὁρῶν καὶ ὅπως τις ἐτρώθη ἐρωτῶν· ὁ δὲ καὶ τῶν Περσῶν τοὺς ἡγεμόνας ἔθαψεν· ἔθαψε δὲ καὶ τοὺς μισθοφόρους Ἕλληνας οἳ σὺν τοῖς πολεμίοις στρατευόμενοι ἀπέθανον. ὅσους δὲ αὐτῶν ζῶντας ἔλαβε, τούτους δήσας ἐν πέδαις εἰς Μακεδονίαν ἀπέπεμψεν ὡς δούλους, ὅτι Ἕλληνες ὄντες ἐμάχοντο τοῖς Ἕλλησιν· ἀποπέμπει δὲ καὶ εἰς Ἀθήνας τριακοσίας πανοπλίας Περσικὰς ἀνάθημα τῇ Ἀθηνᾷ ἐν πόλει. ἐπίγραμμα δ᾽ ἐπιγραφῆναι ἐκέλευσεν ᾧδε· Ἀλέξανδρος Φιλίππου καὶ οἱ Ἕλληνες πλὴν Λακεδαιμονίων ἀπὸ τῶν βαρβάρων τὴν Ἀσίαν οἰκούντων.

AN INCIDENT IN THE LIFE OF CYRUS THE GREAT.

134. I. HE WITHDRAWS FROM BEFORE BABYLON.

ἐπεὶ δὲ πρὸς Βαβυλῶνι ἦν ὁ Κῦρος, περιέστησε μὲν πᾶν τὸ στράτευμα περὶ τὴν πόλιν, ἔπειτα αὐτὸς ἐξήλαυνε περὶ αὐτὴν σὺν τοῖς φίλοις τε καὶ ἡγεμόσι τῶν συμμάχων. ἐπεὶ δὲ ἐθεάσατο τὰ τείχη, ἀπάγειν παρεσκευάσατο τὴν στρατιὰν ἀπὸ τῆς πόλεως· ἐξελθὼν δέ τις αὐτόμολος εἶπεν ὅτι μέλλοιεν ἐπιτίθεσθαι αὐτῷ ὁπότε ἀπάγοι τὸ στράτευμα· 'αὐτοῖς γάρ,' ἔφη, 'θεωμένοις κατὰ τοῦ τείχους ἀσθενὴς ἐδόκει εἶναι ἡ φάλαγξ· καὶ οὐδεῖν θαυμαστὸν ἦν

οὕτως ἔχειν· περὶ γὰρ πολὺ τεῖχος κυκλουμένοις ἀνάγκη ἦν ἐπ᾽ ὀλίγων τὴν φάλαγγα γενέσθαι.' ἀπῇσαν οὖν ἕως οὐκέτι μὲν ἐξικνεῖτο τὰ βέλη ἀπὸ τοῦ τείχους· ἐπεὶ δὲ ἔξω βελῶν ἐγένοντο, στραφέντες ἐξήλαυνον ἕως ἐπὶ ταῖς σκηναῖς ἐγένοντο. ἐπεὶ δὲ ἐστρατοπεδεύσαντο, συνεκάλεσεν ὁ Κῦρος τοὺς ἡγεμόνας καὶ ἔλεξεν, 'ἄνδρες σύμμαχοι, τεθέαμεθα μὲν κύκλῳ τὴν πόλιν· ἐγὼ δὲ ὅπως μὲν ἄν τις ἕλοι τείχη οὕτως ἰσχυρὰ καὶ ὑψηλὰ οὐ δοκῶ μοι ὁρᾶν, ὅσῳ οἱ πλεῖστοι ἄνθρωποι ἐν τῇ πόλει εἰσίν. εἰ μή τιν᾽ οὖν ἄλλον τρόπον ἔχετε λέγειν, λιμῷ αὐτοὺς ἡγοῦμαι πολιορκητέους εἶναι. ἐπεί γε οὐ μάχονται ἐξιόντες.'

135. II. TRENCHES ARE DUG AS IF FOR A SIEGE.

καὶ ὁ Χρυσάντας εἶπεν, 'ὁ δὲ ποταμός,' ἔφη, 'οὗτος οὐ διὰ μέσης τῆς πόλεως ῥεῖ εὖρος ἔχων πλέον ἢ δύο στάδια;' 'ναί,' ἔφη ὁ Γωβρύας, 'καὶ βάθος γ᾽ὡς οὐδ᾽ ἂν δύο ἄνδρες, ὁ ἕτερος ἐπὶ τοῦ ἑτέρου ἑστηκώς, τοῦ ὕδατος ὑπερέχοιεν· ὥστε τῷ ποταμῷ ἔτι ἰσχυροτέρα ἐστὶν ἡ πόλις ἢ τοῖς τείχεσι.' καὶ ὁ Κῦρος, 'ταῦτα μέν,' ἔφη, 'ὦ Χρυσάντα, ἐῶμεν ὅσα κρείττω ἐστὶ τῆς ἡμετέρας δυνάμεως· χρὴ δὲ ὡς τάχιστα διαμετρησαμένους τὸ μέρος ἑκάστους ἡμῶν ὀρύττειν τάφρον.' οὕτω δὴ κύκλῳ διαμετρήσας περὶ τὸ τεῖχος ὤρυττε μέγαν τάφρον, καὶ τὴν γῆν ἀνέβαλλον πρὸς ἑαυτοὺς ἵνα μὴ οἱ πολέμιοι ᾖδιεν. οἱ δ᾽ ἐν τῷ τείχει κατεγέλων τῆς πολιορκίας, ὡς ἔχοντες τὰ ἐπιτήδεια πλέον ἢ εἴκοσιν ἐτῶν. ἀκούσας δὲ ταῦτα ὁ Κῦρος τὸ στράτευμα κατένειμε δώδεκα μέρη, ὡς μῆνα τοῦ ἐνιαυτοῦ ἕκαστον τὸ μέρος φυλάξον. οἱ δὲ αὖ Βαβυλώνιοι ἀκούσαντες ταῦτα πολὺ ἔτι μᾶλλον κατεγέλων.

136. III. THE REAL PURPOSE OF THE TRENCHES.

καὶ αἱ μὲν τάφροι ἤδη ὠρωρυγμέναι ἦσαν. ὁ δὲ Κῦρος ἐπειδὴ ἑορτὴν τοιαύτην ἐν τῇ Βαβυλῶνι ἤκουσεν εἶναι, ἐν ᾗ πάντες Βαβυλώνιοι ὅλην τὴν νύκτα πίνουσι καὶ κωμάζουσιν, ἐν ταύτῃ, ἐπειδὴ νὺξ ἐγένετο, λαβὼν πολλοὺς ἀνθρώπους ἀνεστόμωσε τὰς τάφρους πρὸς τὸν ποταμόν. ὡς δὲ τοῦτο ἐγένετο, τὸ ὕδωρ κατὰ τὰς τάφρους ἐχώρει ἐν τῇ νυκτί, ἡ δὲ τοῦ ποταμοῦ ὁδὸς διὰ τῆς πόλεως πορεύσιμος ἀνθρώποις ἐγίγνετο. ὁ δὲ καταβιβάσας εἰς τὸ ξηρὸν τοῦ ποταμοῦ τοὺς θεράποντας καὶ πεζοὺς καὶ ἱππέας, ἐκέλευσε σκέψασθαι εἰ πορεύσιμον εἴη τὸ ἔδαφος τοῦ ποταμοῦ. ἐπεὶ δὲ ἀπήγγειλαν ὅτι πορεύσιμον εἴη, ἐνταῦθα δὴ συγκαλέσας τοὺς ἡγεμόνας τῶν πεζῶν καὶ ἱππέων ἔλεξε τοιάδε· 'ἄνδρες φίλοι, ὁ μὲν ποταμὸς ἡμῖν κεχώρηκε τῆς εἰς τὴν πόλιν ὁδοῦ. ἡμεῖς δὲ θαρροῦντες εἰσίωμεν οὐδὲν φοβούμενοι εἴσω, ἐννοούμενοι ὅτι οὗτοι

ἐφ᾽ οὓς νῦν πορευσόμεθα εἰσὶν ἐκεῖνοι καὶ οἱ σύμμαχοι οὓς ἔχοντας ὅπλα ἐνικῶμεν· νῦν δ᾽ ἐπ᾽ αὐτοὺς ἴμεν ἐν ᾧ πολλοὶ μὲν αὐτῶν καθεύδουσι, πολλοὶ δ᾽ αὐτῶν μεθύουσι, πάντες δ᾽ ἀσύντακτοί εἰσιν· ὅταν δὲ αἴσθωνται ἡμᾶς ἔνδον ὄντας, πολὺ ἔτι μᾶλλον ἢ νῦν ἀνωφελεῖς ἔσονται ὑπὸ τοῦ ἐκπεπλῆχθαι. ἀλλ᾽ ἄγετε, λαμβάνετε τὰ ὅπλα· ἡγήσομαι δὲ ἐγὼ σὺν τοῖς θεοῖς. ὑμεῖς δέ, ὦ Γαδάτα καὶ Γωβρύα, δείκνυτε τὰς ὁδούς· ἴστε γάρ· ὅταν δ᾽ ἐντὸς γενώμεθα, τὴν ταχίστην ἄγετε ἐπὶ τὰ βασίλεια.' 'καὶ μήν,' ἔφασαν οἱ ἀμφὶ τὸν Γωβρύαν, 'οὐδὲν ἂν εἴη θαυμαστὸν εἰ καὶ ἄκλειστοι αἱ πύλαι αἱ τῶν βασιλείων εἶεν, ὡς ἐν κώμῳ· δειπνεῖ γὰρ ἡ πόλις πᾶσα τῇδε τῇ νυκτί. φυλακῇ μέντοι πρὸ τῶν πυλῶν ἐντευξόμεθα· ἔστι γὰρ ἀεὶ τεταγμένη.' 'οὐ μέλλειν δεῖ,' ἔφη ὁ Κῦρος, 'ἀλλ᾽ ἰέναι, ἵνα ἀπαρασκεύους ὡς μάλιστα λάβωμεν τοὺς ἄνδρας.'

137. IV. THE CITY IS CAPTURED AND THE KING KILLED.

ἐπεὶ δὲ ταῦτα ἐρρήθη, ἐπορεύοντο· τῶν δὲ ἀπαντώντων τοὺς Κῦρον οἱ μὲν ἀπέθνῃσκον παιόμενοι, οἱ δ᾽ ἔφευγον πάλιν εἴσω, οἱ δ᾽ ἐβόων· οἱ δ᾽ ἀμφὶ τὸν Γωβρύαν συνεβόων αὐτοῖς. καὶ ἰόντες ἢ ἐδύναντο τάχιστα ἔτι τοῖς βασιλείοις ἐγένοντο. καὶ οἱ μὲν σὺν τῷ Γωβρύᾳ καὶ Γαδάτᾳ τεταγμένοι κεκλειμένας εὑρίσκουσι τὰς πύλας τῶν βασιλείων· τοῖς δὲ φυλαξὶν ἔνθα ἐπεισπίπτουσιν πίνουσι, καὶ εὐθὺς ὡς πολεμίοις ἐχρῶντο αὐτοῖς. ὡς δὲ κραυγὴ καὶ θόρυβος ἐγίγνετο, κελεύσαντος τοῦ βασιλέως σκέψασθαι τί εἴη τὸ πρᾶγμα, ἐκθέουσί τινες ἀνοίξαντες τὰς πύλας. οἱ δ᾽ ἀμφὶ τὸν Γαδάταν εἰσπίπτουσι τοῖς φεύγουσιν εἴσω, καὶ ἐπεπόμενοι καὶ παίοντες ἀφικνοῦνται πρὸς τὸν βασιλέα. καὶ ἤδη ἑστηκότα αὐτὸν καὶ μέλλοντα ἑαυτὸν σφάξαι εὑρίσκουσι, καὶ τοῦτον μὲν οἱ σὺν Γαδάτᾳ καὶ Γωβρύᾳ ἐχαιροῦντο· καὶ οἱ σὺν αὐτῷ δὲ ἀπέθνῃσκον, ὁ μὲν φεύγων, ὁ δὲ ἀμυνόμενος ὅτῳ ἐδύνατο. ὁ δὲ Κῦρος ἔπεμπε τὰς τῶν ἱππέων τάξεις κατὰ τὰς ὁδοὺς καὶ ἐκέλευεν οὓς μὲν ἔξω λαμβάνοιεν ἀποκτείνειν, τοὺς δ᾽ ἐν ταῖς οἰκίαις κηρύττειν ἔνδον μένειν.

οἱ μὲν δὴ ταῦτ᾽ ἐποίουν, Γαδάτας δὲ καὶ Γωβρύας ἦκον· καὶ θεοὺς μὲν πρῶτον προσεκύνουν, ἔπειτα δὲ Κύρου ἐφίλουν καὶ χεῖρας καὶ πόδας, πολλὰ δακρύοντες καὶ ἅμα χαίροντες. ἐπεὶ δὲ ἡμέρα ἐγένετο καὶ οἱ τὰς ἄκρας ἔχοντες ᾔσθοντο ληφθεῖσάν τε τὴν πόλιν καὶ τὸν βασιλέα τεθνηκότα, παραδιδόασι καὶ τὰς ἄκρας. ἤδη τοὺς ἀποθανόντας ἔθαπτον οἱ θεράποντες καὶ τὰ ὅπλα ἀπέφερον. ἐπεὶ δὲ ταῦτ᾽ ἐπέπρακτο, ὁ Κῦρος ἐκέλευσε Βαβυλωνίοις τὴν γῆν ἐργάζεσθαι καὶ τοὺς δασμοὺς ἀποφέρειν.

138. I. THE MUTILATION OF THE BUSTS OF HERMES AT ATHENS.

καὶ ἡ παρασκευὴ ἐγίγνετο πρὸς τὸν ἐν Σικελίᾳ πόλεμον. ἄρτι δ᾽ ἡ πόλις ἀνειλήφειν ἑαυτὴν τῶν πραγμάτων ὥστε ῥᾷον πάντα ἐπορίζετο· καὶ οἱ μὲν ἐν παρασκευῇ ἦσαν, ἐν δὲ τούτῳ οἱ λίθινοι Ἑρμαὶ ἐν τῇ πόλει,—εἰσὶ δὲ πολλοὶ ἐν ἰδίοις προθύροις καὶ ἐν ἱεροῖς,—μιᾷ νυκτὶ οἱ πλεῖστοι περιεκόπησαν, καὶ τοὺς ποιήσαντας ἤδειν οὐδείς. ἀλλὰ αὐτοὺς ἐζήτουν καὶ τὸ πρᾶγμα περὶ πολλοῦ ἐποιοῦντο· τοῦ τε γὰρ ἔκπλου οἰωνὸς ἐδόκει εἶναι, καὶ ἐπὶ καταλύσει τοῦ δήμου γεγενῆσθαι.

139. II. ALCIBIADES FIRST SUSPECTED, THEN CHARGED WITH THE CRIME.

Ἀλκιβιάδην δὲ πολλοῖς κακὸν δοκοῦντα ἐπῃτιῶντο τούτων. ὁ δὲ ἔλεξεν ἀπολογούμενος ἕτοιμος εἶναι κρίνεσθαι πρὶν ἐκπλεῖν. τοῖς δ᾽ Ἀθηναίοις ἔδοξεν μὴ κατασχεῖν τὸν στόλον. Ἀλκιβιάδης οὖν ἀπέπλει εἰς Σικελίαν. οὐ μέντοι πολλῷ ὕστερον, τῆς περικοπῆς καὶ ἄλλων κακῶν οἰόμενοι αὐτὸν εἶναι τὸν αἴτιον, οἱ Ἀθηναῖοι πέμπουσι τὴν Σαλαμινίαν ναῦν εἰς τὴν Σικελίαν ἐπ᾽ αὐτόν, ἵνα ἀγαγόντες εἰς κρίσιν ἀποκτείνειαν. ὁ δὲ ἀπέπλει ἐπὶ τῆς ἑαυτοῦ νεὼς ὡς εἰς τὰς Ἀθήνας, καὶ ἐπειδὴ ἀφίκετο εἰς Θουρίους, οὐκέτι συνείπετο τῇ ἄλλῃ νηί· φυγὰς δὲ γενόμενος ἀπῆλθεν εἰς Πελοπόννησον· οἱ δὲ Ἀθηναῖοι αὐτοῦ ἄποντος θάνατον κατέγνωσαν καὶ τῶν μετ᾽ ἐκείνου. ἀλλ᾽ οἵτινες ἦσαν οἱ περικόψαντες τὰ πρόσωπα τῶν Ἑρμῶν, οὔποτε ἀκριβῶς ηὑρέθη.